ἀκολασίας μετέχοντες δὲ φιλανθρωπίας, οἶκτον μὲν πρὸ
from-licentiousness sharing and in-humanity pity indeed before
ὀφθαλμῶν ἔχοντες πίστεως δὲ προασπίζοντες, αἰδὼ δὲ
eyes having faith and defending modesty and
καὶ παντοίαν ἀρετὴν ἀσπαζόμενοι, ἣν ὁ πρὸ τοῦ βίος
also every-kind-of virtue embracing which the before the life
ἀνθρωπίνων ἠθῶν ἐκβεβλήκει, ἥτις ποτε γέγονεν αἰτία
from-human ways bad-cast-out which at-some-time became (the)-cause
μᾶλλον δὲ ἀνάγκη σωτῆρι καθόδου τὴν ὑπὲρ πάντων
rather and (the)-necessity for-(the)-savior of-descent the for all
ποιουμένῳ πρόνοιαν· οὐδεὶς γὰρ ἂν τῶν τοσούτων κακῶν
making providence no-one for — of-the so-many evils
καὶ τῆς ἐπικρατησάσης κατ' ἐκεῖνον τὸν βίον ἀδικίας
and of-the prevailing in that the life injustice
ἰατρὸς ἀξιόχρεως εὑρέθη. ἡ γοῦν πρόνοια μέχρι
physician adequate would-have-been-found the at-any-rate providence as-far-as

τῶν τῇδε διήκουσα πάνθ' ὅσα ὑφ' ὕβρεως καὶ
the here(-things) reaching all(-things) which by outrage and
ἀκολασίας ἀκόσμητα ἦν κατεκόσμησε ῥᾷστα. καὶ οὐδὲ
licentiousness disordered were ordered most-easily and not-even
τοῦτο ἀποκρύφως. ᾔδει γὰρ τοὺς μὲν τῶν ἀνθρώπων
this secretly he-knew for some indeed of-the men
φρονήσει καὶ νῷ τὴν ἑαυτοῦ δύναμιν θεωροῦντας, τοὺς
by-prudence and mind the his-own power beholding others
δὲ ἅτε τοῖς ἀλόγοις τῶν ζώων ἀπεικασμένους τὴν φύσιν
and as to-the irrational of-the creatures likened in-the nature
μᾶλλον ταῖς αἰσθήσεσιν ἐπιβάλλοντας· διὸ φανερῶς,
rather to-the senses attending therefore openly
ἵνα μηδεὶς ἀμφιβάλλοι μὴ σπουδαῖος μὴ φαῦλος, τὴν
that no-one might-doubt not good not bad the
εὐδαίμονα καὶ θαυμαστὴν θεραπείαν ὑπ' ὄψιν ἤγεν,
happy and wonderful healing under sight he-brought
τοῖς μὲν παυσαμένοις τοῦ βίου ἀποκαθιστὰς τὸ ζῆν
to-those indeed having-ceased from-the life restoring the to-live
ἐκ δευτέρου, τοὺς δὲ ἐστερημένους τῶν αἰσθήσεων ὑγιῶς
for (a)-second(-time) those and deprived of-the senses soundly
κελεύων πάλιν αἰσθάνεσθαι. στηρίξαι δὲ θάλασσαν καὶ
commanding again to-perceive to-make-firm and (the)-sea and
νηνεμίαν ἐκ χειμῶνος ἐπιτάξαι, καὶ τέλος θαυμαστοῖς
calm out-of storm to-command and finally wonderful
ἔργοις ἐπιχειρήσαντα καὶ ἐξ ἀπιστίας τοὺς ἀνθρώπους εἰς
works having-undertaken and from unbelief the men to
πίστιν ἰσχυρὰν προσκαλεσάμενον εἰς οὐρανὸν ἀναπτῆναι,
faith strong having-called into heaven to-fly-up
τίνος ἄλλου πλὴν τοῦ θεοῦ τῆς τε ἐξοχωτάτης δυνάμεως
whose other except — God's of-the and most-excellent power
ἔργον τοῦτο; οὐ μὴν οὐδὲ ὁ προσεχὴς τοῦ παθήματος
(the)-work this not indeed not-even the immediate of-the passion

καιρὸς τῶν θαυμαστῶν ἐκείνων θεαμάτων ἀλλότριος ἦν,
time of-the wonderful those sights strange-to was
ἡνίκα νύκτες ἡμερινὸν φῶς ἐπικαλύπτουσαι τὸν ἥλιον
when nights daytime light veiling the sun
ἠφάνιζον· κατειλήφει γὰρ δέος τοὺς πανταχοῦ δήμους
blotted-out had-seized for fear the everywhere peoples
τὴν τῶν ἁπάντων πραγμάτων συντέλειαν ἥκειν, καὶ
the of-the all things end to-have-come and
χάος αὖθις οἷον τὸ πρὸ τῆς τοῦ κόσμου διατάξεως
chaos again such-as the(-one) before the of-the world ordering
ἐπικρατήσειν. ἐζητεῖτο δὲ καὶ τὸ αἴτιον τοῦ τηλικούτου
to-be-about-to-prevail was-sought and also the cause of-the so-great
κακοῦ, καὶ εἴ τι πλημμελὲς ὑπὸ τῶν ἀνθρώπων εἰς
evil and whether any offense by the men against
τὸ θεῖον γένοιτο, ἕως ὅτε ἡπίῳ μεγαλοψυχίᾳ τῆς
the divine had-been-done until when with-gentle magnanimity the
τῶν ἀσεβῶν ὕβρεως ὑπερφρονήσας ἀποκαθίστησι τὸν
of-the impious outrage having-disregarded he-restores the
οὐρανὸν σύμπαντα τῇ τῶν ἄστρων κατακοσμῶν χορείᾳ.
heaven whole with-the of-the stars adorning dance
τοιγάρτοι ποσῶς καὶ ἡ τοῦ κόσμου πρόσοψις σκυθρωπῶσα
therefore somewhat also the of-the world face gloomy
εἰς τὴν οἰκείαν αὖθις ἀποκαθίστατο φαιδρότητα.
into the own again was-restored brightness

To those who say God could have made men better, Constantine answers that Christ came in person to teach the orderly life, crowning its martyrs and asking only bloodless worship. Others blame God for making natures unlike; but God made the world of unlike elements and gave all men reason and free choice alike, and character differs by neglect of that gift: the virtuous win honor, the wicked fire. Nothing born and mortal compares with the eternal God.

12 Ἀλλ᾽ ἐρεῖ τις, ᾧ φίλον ἐστὶ βλασφημεῖν, θεὸν
but will-say someone to-whom dear it-is to-blaspheme God
ὄντα δεδυνῆσθαι κρείσσονα καὶ ἠπιωτέραν τὴν προαίρεσιν
being to-have-been-able better and gentler the choice
τῶν ἀνθρώπων ἀπεργάσασθαι. τίς οὖν κρείσσων μέθοδος
of-the men to-make what then better method
ποία δ᾽ ἐπιχείρησις ἀνυτικωτέρα πρὸς τὸ τοὺς κακοὺς
what-sort and attempt more-effective for the the wicked
σωφρονισθῆναι τῆς ἑαυτοῦ προσρήσεως; οὐκ αὐτὸς
to-be-chastened than-the his-own address not he-himself
παρὼν καὶ ὁρώμενος ἐδίδασκε τὸν κόσμιον βίον; εἰ οὖν ἡ
present and seen taught the orderly life if then the
τοῦ θεοῦ παραγγελία παρόντος οὐδὲν ἤνυσεν, τί ἂν
— *of-God command (when-he-was)-present nothing accomplished what —*
ἀπόντος καὶ μὴ ἀκουομένου ὠφέλησεν; τί οὖν ἐγένετο
(when-he-is)-absent and not heard would-it-profit what then became
ἐμπόδιον τῆς μακαριωτάτης διδασκαλίας; ἡ τῶν ἀνθρώπων
(a)-hindrance of-the most-blessed teaching the of-the men
σκαιότης· ὅταν γὰρ τὰ καλῶς τε καὶ προσηκόντως
perversity when for the(-things) well both and fittingly
παραγγελλόμενα πρὸς ὀργὴν λαμβάνωμεν, τηνικάδε τὸ
commanded to anger we-take then the
νῆφον τῆς διανοίας ἀμαυροῦται. τί δὲ ὅτι προσφιλὲς ἦν
sober of-the mind is-dimmed what and that dear was

ἐκείνοις ἀμελεῖν τῶν προστάξεων καὶ ἀνορέκτους παρέχειν
to-those to-neglect the commandments and unwilling to-make
τὰς ἀκοὰς τῷ τεθέντι νόμῳ; εἰ γὰρ μὴ κατημέλουν,
the ears to-the laid-down law if for not they-had-neglected
ἔσχον ἂν ἄξια τὰ ἐπίχειρα τῆς ἀκροάσεως οὐ μόνον
they-would-have-had — worthy the wages of-the hearing not only
εἰς τὸ παραχρῆμα ἀλλ' εἰς τὸν μετέπειτα βίον, ὅς ἐστιν
for the immediate but for the after life which is
ὡς ἀληθῶς βίος· ὁ γάρ τοι μισθὸς τοῦ τῷ θεῷ πείθεσθαι
as truly life the for surely reward of-the — to-God to-obey
ὁ ἄφθαρτος καὶ ἀίδιος βίος, οὗ δυνατὸν ἀντιποιεῖσθαι
the imperishable and everlasting life of-which possible to-lay-claim
τοῖς εἰδόσι τὸν θεὸν καὶ τοῖς τὸν ἑαυτῶν βίον
for-the(-ones) knowing — God and for-the(-ones) the their-own life
ζηλωτὸν παρεχομένοις καὶ οἷον παράδειγμα αἰώνιον
enviable furnishing and as-it-were (an)-example eternal
τοῖς πρὸς ἄμιλλαν ζῆν προῃρημένοις. διὰ τοῦτο οὖν
to-the(-ones) for emulation to-live having-chosen because-of this then
ἡ διδασκαλία παρεδόθη τοῖς σοφοῖς, ἵν' ὅπερ ἂν ἐκεῖνοι
the teaching was-handed-down to-the wise that whatever — those
παραγγέλλωσι, τοῦτο μετ' ἐπιμελείας ὑπὸ τῶν ὑπηκόων
may-command this with care by the subjects
παραφυλάσσηται καθαρᾷ ψυχῇ ἀληθής τε ᾖ καὶ βεβαία
may-be-guarded with-pure soul true and may-be and firm
ἡ φυλακὴ τῆς κελεύσεως τοῦ θεοῦ. ἐκ γάρ τοι αὐτῆς καὶ
the keeping of-the command — of-God from for surely it also
τὸ πρὸς τὸν θάνατον ἀδεὲς ὑπὸ καθαρᾶς πίστεως καὶ
the toward the death fearlessness by pure faith and
εἰλικρινοῦς περὶ τὸν θεὸν καθοσιώσεως φύεται, ἀνθίσταται
sincere toward — God devotion grows stands-against
δὲ ζάλαις κοσμικαῖς, ἀνανταγωνίστῳ θείας ἀρετῆς…
and storms worldly with-unrivaled of-divine virtue

πεφραγμένη πρὸς τὸ μαρτύριον· νικήσασα γοῦν
fenced for the martyrdom having-conquered at-any-rate
ὑπὸ μεγαλοψυχίας τοὺς μεγίστους φόβους ἀξιοῦται
by magnanimity the greatest fears is-deemed-worthy
στεφάνου παρ᾽ αὐτοῦ, ᾧ γενναίως ἐμαρτύρησε. καὶ
of-(a)-crown from him for-whom nobly it-bore-witness and
οὐδὲν σεμνύνεται· ἐπίσταται γὰρ οἶμαι καὶ τοῦτο θεόθεν
in-nothing is-proud it-knows for I-think also this from-God
δεδόσθαι πρὸς τὸ ὑποστῆναι καὶ πληρῶσαι προθύμως
to-have-been-given for the to-undergo and to-fulfill eagerly
τὰ θεῖα προστάγματα. διαδέχεται δὴ τόνδε τὸν βίον
the divine commands succeeds indeed this the life
μνήμη διαρκὴς καὶ αἰώνιος δόξα μάλα εἰκότως, εἴπερ ὅ
memory lasting and eternal glory very fittingly if-indeed the
τε βίος σώφρων τοῦ μάρτυρος καὶ τῶν παραγγελμάτων
both life sober of-the martyr and of-the precepts
μνήμων, ἥ τε τελευτὴ πλήρης εὑρίσκεται μεγαλοψυχίας
mindful the and end full is-found of-magnanimity
τε καὶ εὐγενείας. ὕμνοι δὴ μετὰ ταῦτα καὶ ψαλτήρια
both and nobility hymns indeed after these(-things) and psalms
καὶ εὐφημίαι καὶ πρὸς τὸν πάντων ἐπόπτην ἔπαινος.
and acclamations and toward the of-all overseer praise
καὶ τοιαύτη τις εὐχαριστίας θυσία τοῖς ἀνδράσιν
and such (a)-certain of-thanksgiving sacrifice for-the men
ἀποτελεῖται, ἁγνὴ μὲν αἵματος ἁγνὴ δὲ πάσης βίας, οὐδὲ
is-performed pure indeed of-blood pure and of-all violence nor
μὴν ὀσμὴ λιβάνων ἐπιποθεῖται οὐδὲ πυρκαϊά, καθαρὸν δὲ
indeed smell of-frankincense is-longed-for nor pyre clean but
φῶς ὅσον ἐξαρκέσαι τοῖς εὐχομένοις πρὸς ἔκλαμψιν,
light as-much-as to-suffice for-the(-ones) praying for illumination
σωφρονέστατα δὲ πολλῶν καὶ τὰ συμπόσια πρὸς ἔλεον
most-soberly and of-many also the feasts for mercy

καὶ ἀνάκτησιν τῶν δεομένων ποιούμενα καὶ πρὸς βοήθειαν
and recovery of-the needy made and for help
τῶν ἐκπεσόντων. ἅπερ ἄν τις φορτικὰ εἶναι νομίζῃ, οὐ
of-the fallen which — anyone burdensome to-be may-think not
κατὰ τὴν θείαν καὶ μακαρίαν διδασκαλίαν φρονεῖ.
according-to the divine and blessed teaching he-thinks
Ἤδη δέ τινες καὶ ἐν τῷ μέμφεσθαι τὸν θεὸν νεανιεύονται. 13
already and some even in the to-blame — God are-insolent
τί δή ποτε βουληθεὶς οὐ μίαν καὶ τὴν αὐτὴν τῶν ὄντων
why indeed ever having-willed not one and the same of-the beings
φύσιν ἐτεκτήνατο, ἀλλὰ διάφορα καὶ τὰ πλεῖστα ἐναντία
nature he-fashioned but different and the most opposite
τὴν φύσιν ἐκέλευσεν ἀπογεννᾶν; ὅθεν καὶ ἡ διαφορὰ
the nature he-commanded to-generate whence also the difference
τῶν ἡμετέρων ἠθῶν τε καὶ προαιρέσεων. ἦν γὰρ ἴσως
of-the our characters both and choices it-was for perhaps
ἄμεινον, καὶ πρὸς τὸ πειθαρχεῖν τοῖς κελεύσμασι τοῦ
better also for the to-obey the commands —
θεοῦ καὶ πρὸς τὴν ἀκριβῆ κατάληψιν αὐτοῦ καὶ πρὸς τὸ
of-God and for the exact comprehension of-him and for the
βεβαιοῦσθαι τὴν καθ᾽ ἑκάστου πίστιν, ὁμοτρόπους εἶναι
to-be-confirmed the of each faith of-like-ways to-be
πάντας ἀνθρώπους. δυνατὴ δὲ καὶ ἡ πρᾶξις ἅτε
all men possible and also the deed inasmuch-as
δὴ θεοῦ. οἱ ταῦτα λέγοντες ἐοίκασι μέμφεσθαι τῇ
indeed of-God the(-ones) these(-things) saying seem to-blame the
διακοσμήσει τῶν ὅλων καὶ τήν νυκτερινὴν διαδοχὴν μὴ
ordering of-the whole(-world) and the nightly succession not
προσδέχεσθαι, βούλεσθαι δὲ ἀεὶ τὸ ἡμερινὸν φῶς διαρκεῖν,
to-accept to-wish and always the daytime light to-last
καὶ ταῦτα τῆς ἀναπαύσεως οὔσης ἀναγκαίας, ἀγανακτεῖν
and this the rest being necessary to-be-vexed

τε πρὸς τοὺς ὠκεανοῦ καὶ γῆς ὅρους, μέμφεσθαί τε τὴν
and at the of-ocean and of-earth boundaries to-blame and the
γῆν τοσαῦτα πρὸς χρῆσιν τῶν ἐπιγείων δωρουμένην,
earth so-many(-things) for use of-the earthly(-creatures) giving
ἀλλὰ καὶ τὴν θάλασσαν αἰτιᾶσθαι παντοδαπὴν τοῖς πλέουσι
but also the sea to-accuse all-manner-of to-the sailing
παρεχομένην πορείαν, καὶ καθάπαξ πάντας μιᾶς μορφῆς
furnishing course and once-for-all all of-one form
ἀξιοῦν εἶναι, ὕλας δὲ καὶ ὄρη τὸ συνόλον μηδ' ἀξιοῦν
to-deem-fit to-be woods and also mountains the altogether not-even to-deem-fit
φαίνεσθαι, καὶ ὅλως πάντα τὰ διάφορα τῆς φύσεως
to-appear and in-short all the different of-the nature
ἀποτελέσματα σὺν ταῖς προσηγορίαις αὐτῶν ἀναιρεῖν. καὶ
products with the names their to-abolish and
ταῦτα μὲν φανερῶς ἕωλα, τὸ δὲ τοὺς ἀνθρώπους πάντας
these(-things) indeed plainly stale the but the men all
ὁμοιοτρόπους εἶναι ἀξιοῦν, κομιδῇ γελοῖον, μηδὲ ἐννοεῖν,
of-like-ways to-be to-deem-fit utterly ridiculous not-even to-consider
ὅτι οὐχ ἥπερ ἡ τοῦ κόσμου διάταξις αὕτη καὶ τῶν
that not the-same-as the of-the world ordering this(-one) also of-the
κοσμικῶν, οὐδὲ τὰ φυσικὰ τοῖς ἠθικοῖς ὁμοούσια,
worldly(-things) nor the natural(-things) with-the moral(-things) consubstantial
οὐδὲ τὰ τοῦ σώματος παθήματα τοῖς τῆς ψυχῆς πάθεσι
nor the of-the body sufferings with-the of-the soul passions
τὰ αὐτά; τὸν μὲν γὰρ σύμπαντα κόσμον ἐκ διαφόρων
the same the indeed for whole world from different
στοιχείων ὁ θεὸς ἐτεκτήνατο. διαφορῶν γὰρ οὐσῶν τῶν
elements — God fashioned differing for being the
σωματικῶν δυνάμεων διάφορα καὶ παντοδαπὰ πρὸς τὴν
bodily powers different and all-manner-of for the
χρῆσιν τοῦ κόσμου ἐπορίζετο ἐξ ἀνάγκης, εἴπερ πολλὰ
use of-the world he-provided of necessity since many

καὶ ἀναρίθμητα τῇ φύσει, *** πολλὰ δ' ὑπὸ θαλάσσης
and countless(-things) by-the nature (lacuna) many and by sea
καὶ ἀέρος συντελεῖται. τὸν δὲ ἄνθρωπον λογικὸν ἐποίησεν
and air are-accomplished the but man rational made
ζῶον γνῶσιν τ' αὐτῷ κακῶν καὶ ἀγαθῶν ἐδωρήσατο,
living-being knowledge and to-him of-evils and of-goods gave
ὅπως τὰ μὲν φύγοι τὰ δὲ μεταδιώκοι, δούς
that the(-things) indeed he-might-flee the(-others) but he-might-pursue having-given
τ' αὐτῷ τοιαύτης τινὸς σοφίας ἐπιτηδειότητα αὐτεξούσιον
and to-him of-such some wisdom aptitude self-determining
αὐτὸν εἴασεν καὶ τὴν κρίσιν τῆς διατυπώσεως ἐπέτρεψεν
him he-let-be and the judgment of-the shaping he-entrusted
τοῦ καθ' αὐτὸν βίου, καὶ ταῦτα ἔξ ἴσης πᾶσιν
of-the regarding himself life and these(-things) on equal(-terms) to-all
ἀνθρώποις. πόθεν οὖν τὸ διάφορον τῶν τρόπων; ὅταν
men whence then the difference of-the ways when
οἶμαι τοῦ δωρηθέντος ἡμῖν ὑπὸ τῆς προνοίας ἀγαθοῦ
I-think the given to-us by the providence good
καταμελῶμεν, θυμῷ δὲ εἴξαντες ἢ ἐπιθυμίᾳ ἀντὶ
we-neglect to-wrath but having-yielded or to-desire instead-of
τῶν βελτιόνων τὰ χείρονα αἱρώμεθα. ἐρεθίζει γὰρ οὐ
the better the worse we-choose provokes for not
μικρῶς ὁ θυμός, βιάζεται δὲ καὶ ἡ ἐπιθυμία, καὶ τοὺς
slightly the wrath forces and also the desire and the
ἄφρονας ἐκτραχηλιάζουσιν, ὅταν τοῦ λόγου περιγένωνται.
senseless they-throw-headlong when the reason they-overcome
ἐπικρατήσαντος δ' ἐκείνου πᾶς ὁ βίος μέτριος ἐπαίνου
having-prevailed but that(-one) whole the life measured of-praise
τε ἄξιος. συγκροτεῖται δ' οὖν, ἡνίκα δίκην ἀγαθοῦ τινος
and worthy is-composed and then when like good some
ἡνιόχου σπάσῃ τὰς ἡνίας τῆς ἀτάκτου καὶ μανιώδους
charioteer he-pulls the reins of-the disorderly and mad

συνωρίδος, ἐνθένδε ἡ πίστις, καὶ ἡ πρὸς τὸν θεὸν εὐσέβεια
pair thence the faith and the toward — God piety
δικαιοσύνη τε καὶ σωφροσύνη καὶ παντοίας ἀρετῆς
justice both and temperance and of-all-kinds-of virtue
εὐδαιμονία συνέστη. ταῦτα δὴ καὶ τὰ τοιαῦτα τὰ τῶν
happiness was-established these(-things) indeed and the such(-things) the of-the
ψυχῶν κατορθώματα ἄγει πρὸς τὸν ὅσιον δικαστὴν αὐτὰς
souls achievements lead to the holy judge them
οὐ κριθησομένας οὐδ' ἐπὶ τὸν τῶν ἁμαρτημάτων ἔλεγχον
not to-be-judged nor to the of-the sins examination
ἀχθησομένας ἀλλ' ἐπὶ τὰς τιμάς, ἃς αὐτὸς ταῖς
to-be-brought but to the honors which he-himself to-the(-ones)
ἄριστα βεβιωκυίαις προϋπέσχετο. τὰς δ' ἀκαθάρτους καὶ
best having-lived promised the(-ones) but impure and
σωματικῶν ἡδονῶν ἐμφορηθείσας ὠθεῖ βίᾳ ὀδυρομένας
with-bodily pleasures filled thrusts by-force lamenting
ἐπὶ τὴν προσήκουσαν δίκην ἡ τιμωρία ἐπὶ τέλος ἄγουσα
to the fitting penalty the punishment to end bringing
καὶ ἐκδικάζουσα τὴν δικαίαν τοῦ θεοῦ ἀπόφασιν. ἔνθα μένει
and executing the just — of-God sentence there awaits
μὲν αὐτὰς ἀσβεστόν τι καὶ ἀκατάπαυστον πῦρ, μένει
indeed them unquenchable some and unceasing fire awaits
δὲ ἀπόκρημνόν τε καὶ κατηρεφὲς βάραθρον. ἀσεβὲς δὲ
and sheer both and overhung chasm impious and
καὶ τὸ ἐνθύμημα τῶν πρὸς τὴν διαφορὰν τῶν ὄντων
also the thought of-the(-ones) toward the difference of-the beings
ἀπεχθανομένων, μίαν τε καὶ τὴν αὐτὴν ἀξίαν πάντων
hostile one both and the same worth of-all
χρημάτων εἶναι θελόντων. ἄδικον ἄρα τοῖς δυσσεβέσιν
things to-be wishing unjust after-all to-the impious
εἶναι δοκεῖ τὰ τίμια τῶν ὑποδεεστέρων προτιμᾶσθαι
to-be seems the honorable(-things) than-the inferior(-things) to-be-preferred

καὶ τὴν ἀθάνατον φύσιν πλεονεκτεῖν τῶν φθαρτῶν καὶ
and the immortal nature to-surpass the perishable and
ἐπιγείων ζώων μακαριότητι, ὅσῳ σεμνοτέρα τε
earthly living-beings in-blessedness by-as-much-as more-august both
καὶ θειοτέρα τυγχάνει οὖσα. καὶ τῆς θείας ἀγαθότητος
and more-divine it-happens being and of-the divine goodness
οὐκ ἄμοιρον τὸ τῶν ἀνθώπων γένος, ἀλλ' οὐκ ἁπλῶς
not without-share the of-the men race but not simply
πάντων οὐδ' ὡς ἔτυχε, μόνων δὲ τῶν τὴν θείαν
of-all nor as it-happened only but of-the(-ones) the divine
φύσιν ἐξιχνευσάντων καὶ τὸ προηγούμενον ἐπιτήδευμα τοῦ
nature having-tracked-out and the leading pursuit of-the
βίου προελομένων, τὴν τῶν θείων ἐπίγνωσιν.
life having-chosen the of-the divine(-things) knowledge
Τά γε μὴν ἐκ γενεᾶς τοῖς ἀιδίοις συγκρίνειν 14
the(-things) at-least however from birth with-the everlasting(-things) to-compare
μανία ἐστὶν ὡς ἀληθῶς ἡ τελεωτάτη. τῶν μὲν γὰρ
madness is as truly the most-complete of-the(-ones) indeed for
οὔτε ἀρχὴ οὔτε τέλος, τὰ δ', ἅτε φύντα καὶ
neither beginning nor end the(-things) but inasmuch-as having-sprung and
γενόμενα καὶ τὴν ἀρχὴν τοῦ τε εἶναι καὶ ζῆν ἐν χρόνῳ
having-come-to-be and the beginning of-the both to-be and to-live in time
τινὶ λαβόντα, ἀκολούθως καὶ τελευτὴν ἐξ ἀνάγκης ἔχει·
some having-taken consistently also end of necessity have
τὰ δὲ γενόμενα τῷ κελεύσαντι γεννηθῆναι
the(-things) and having-come-to-be with-the(-one) having-commanded to-be-born
αὐτὰ πῶς ἂν ἐξισάζοιτο; εἰ γὰρ ὅμοια ταῦτα ἐκείνῳ,
them how — could-be-equaled if for like these(-things) to-that(-one)
οὐδὲ πρόσταξις τοῦ γεννᾶσθαι προσηκόντως ἂν ἐκείνου
not-even command of-the to-be-born fittingly — of-that(-one)
νομίζοιτο. ἀλλ' ἐκείνῳ μὲν οὐδ' ἂν τὰ οὐράνια
would-be-thought but to-that(-one) indeed not-even — the heavenly(-things)

συγκριθείη, ὥσπερ οὐδ' ὁ αἰσθητὸς κόσμος τῷ νοητῷ
could-be-compared as not-even the perceptible world with-the intelligible
οὐδ' αἱ εἰκόνες τοῖς παραδείγμασιν. ἡ δὲ σύγχυσις
nor the images with-the patterns the and confusion
τῶν πάντων πῶς οὐ γελοῖον, ἀποκρυπτομένης τῆς τοῦ
of-the all how not ridiculous being-hidden of-the of-the
θείου τιμιότητος τῇ πρὸς τοὺς ἀνθρώπους καὶ τά
divine preciousness by-the toward the men and the
γε θηρία συγκρίσει; ἔφεσις δὲ δυναστείας ἀντιρρόπου
at-least beasts comparison longing and of-power equal-weighted
θεοῦ δυναστείᾳ πῶς οὐ μαινομένων ἐστὶν ἀνθρώπων
with-God's power how not of-raving is-it men
ἀπεστραμμένων τε τὸν σώφρονα καὶ ἐνάρετον βίον; εἰ
having-turned-away-from and the sober and virtuous life if
γὰρ ὅλως τῆς θείας εὐτυχίας ἀντιποιούμεθα, χρὴ τὸν
for at-all of-the divine felicity we-lay-claim (one)-must the
βίον διάγειν κατὰ τὴν τοῦ θεοῦ κέλευσιν. οὕτω γὰρ ἐν
life to-lead according-to the — of-God command thus for in
μοναῖς ἀθανάτοις καὶ ἀγήροσι κρείσσους πάσης εἱμαρμένης
abodes immortal and ageless stronger than-every fate
διάξομεν τὸν βίον, κατὰ τὸν ὑπὸ θεοῦ νόμον ὁρισθέντα
we-shall-lead the life according-to the by God law defined
βιώσαντες. μόνη γὰρ ἀντίρροπος θεοῦ δυνάμεως ἀνθρωπίνη
having-lived alone for equal-weighted of-God of-power human
δύναμις ἡ εἰλικρινὴς καὶ ἄδολος πρὸς τὸν θεὸν λατρεία καὶ
power the sincere and guileless toward — God service and
ἡ εἰς αὐτὸν ἐπιστροφή, θεωρία τε καὶ μάθησις τῶν
the to him turning contemplation both and learning of-the(-things)
ἀρεσκόντων τῷ κρείττονι, καὶ τὸ μὴ εἰς γῆν νενευκέναι
pleasing to-the stronger(-one) and the not to earth to-have-bent
ἀλλ', ὅση δύναμις, τὴν διάνοιαν ἐπὶ τὰ ὄρθιά τε καὶ
but as-much-as (is-in-one's)-power the mind to the upright both and

ὑψηλὰ ἀναβιβάζειν· ἐκ γάρ τοι τῆς ἐπιτηδεύσεως ταύτης
lofty(-things) to-raise from for surely the practice this
τὸ νικᾶν ἀντὶ πολλῶν ἀγαθῶν, φησί, περιγίγνεται. ἡ
the to-conquer instead-of many goods he-says results the
τοίνυν αἰτία τῆς τῶν ὄντων διαφορᾶς κατά τε τὴν
therefore cause of-the of-the beings difference according-to both the
ἀξίαν καὶ ἐν τῇ τοῦ δύνασθαι παραλλαγῇ τοῦτον ἔχει
worth and in the of-the to-be-able variation this has
τὸν λόγον, ᾧ πείθονται μὲν οἱ εὖ φρονοῦντες
the account by-which are-persuaded indeed the(-ones) well minded
καὶ εὐχαριστοῦσιν ἐξαισίως, οἱ δ' ἀχαριστοῦντες ἠλίθιοι
and give-thanks extraordinarily others but being-ungrateful fools
τὴν ἀξίαν τῆς ὑπερηφανίας κομίζονται τιμωρίαν.
the worthy of-the arrogance receive punishment

V · THE SON AND THE SIBYL

God's Son went about the earth, healed the sick, taught his disciples patience and a sober life, and bade one who drew a sword put it away. The prophets foretold his birth, passion, and time, and his coming ended the human sacrifices of Egypt and Assyria, whose Memphis and Babylon Constantine saw desolate. Moses freed his people, Pythagoras imitated him, and Daniel was saved from the lions under Cambyses. The Erythraean Sibyl, a priestess of Apollo, foretold Christ in verses whose initials spell Jesus Christ, Son of God, Savior, Cross.

Καὶ μὴν ὁ τοῦ θεοῦ παρακαλεῖ παῖς πρὸς τὴν ἀρετὴν 15
and indeed the — of-God summons son to the virtue
ἅπαντας, διδάσκαλον ἑαυτὸν τοῖς εὖ φρονοῦσιν τῶν τοῦ
all teacher himself to-the(-ones) well minded of-the of-the
πατρὸς παραγγελμάτων καθιστάς· εἰ μὴ ἄρα λανθάνομεν
father precepts making if not after-all we-escape-notice

ἑαυτοὺς κακῶς ἀγνοοῦντες, ὅτι διὰ τὸ ἡμῖν συμφέρον
ourselves wickedly not-knowing that because-of the for-us advantage
τουτέστιν διὰ τὴν τῶν ἀνθρώπων μακαριότητα τὴν
that-is because-of the of-the men blessedness the
γῆν περιενόστησε, καὶ καλέσας ὡς ἑαυτὸν τοὺς ἀρίστους
earth he-traveled-around and having-called to himself the best
τῶν τηνικαῦτα βιωφελῆ παιδείαν ἐπαίδευσε, σώφρονος
of-the then useful-for-life training trained of-sober
βίου φάρμακον, πίστιν καὶ δικαιοσύνην, αὐτοὺς ἐκδιδάξας
life (a)-remedy faith and justice them having-taught
ἄντικρυς τοῦ ἐκ τῆς ἀντικειμένης φύσεως φθόνου,
directly-against the from the opposing nature envy
ᾧ δελεάζειν καὶ ἐξαπατᾶν τοὺς ἀπείρους προσφιλές.
with-which to-entice and to-deceive the inexperienced (is)-dear
τοιγαροῦν νοσοῦντας μὲν ἐπεσκέπτετο, ἀρρώστους δὲ
therefore (the)-sick indeed he-visited infirm and
τῶν περιεχόντων κακῶν ἐκούφιζε, παρεμυθεῖτο δὲ καὶ
from-the besetting evils he-relieved he-comforted and also
τοὺς εἰς τοὔσχατον πενίας τε καὶ ἀπορίας προβεβηκότας,
the(-ones) to the-uttermost of-poverty both and of-want having-advanced
ἐπῄνει δὲ τὸ μετὰ λόγου τῆς φρονήσεως μέτριον,
he-praised and the with reason of-the prudence moderate(-thing)
φέρειν τε γενναίως καὶ ἀνεξικάκως παντοίαν μὲν ὕβριν
to-bear and nobly and patiently every-kind-of indeed outrage
παντοίαν δὲ καταφρόνησιν προσέταξε, διδάσκων ἐπίσκεψίν
every-kind-of and contempt he-commanded teaching oversight
τινα τοῦ πατρὸς εἶναι τοιαύτην, ὥστε ἀεὶ νικᾶν τοὺς
some of-the father to-be such so-that always to-conquer the(-ones)
μεγαλοψύχως φέροντας τὰ προσπίπτοντα. ταύτην γὰρ
magnanimously bearing the(-things) befalling this for
ὑπερφυῶς ἐξοχωτάτην ἰσχὺν εἶναι διεβεβαιοῦτο, στερρότητα
extraordinarily most-surpassing strength to-be he-affirmed firmness

διανοίας μετὰ φιλοσοφίας, ἥτις ἐστὶ τοῦ ἀληθοῦς καὶ
of-mind with philosophy which is of-the true and
τοῦ ἀγαθοῦ γνῶσις, ἐθίζουσα καὶ τοὺς μετὰ δικαιοσύνης
of-the good knowledge accustoming also the(-ones) with justice
πλουτοῦντας κοινωνεῖν τῶν παρόντων τοῖς πενιχροτέροις
being-rich to-share of-the present(-things) with-the poorer
φιλανθρώπῳ διανεμήσει, δυναστείαν παντὶ τρόπῳ κωλύων,
by-humane distribution domination in-every way preventing
δεικνύς τε ὅτι, ὥσπερ μετρίοις προσῆλθεν, οὕτω
showing and that as with-moderate(-means) he-came thus
μετρίους καταλείψει τοὺς ἀφέντας χαριζόμενος, καὶ ὅτι
moderate(-ones) he-will-leave the(-ones) having-let-go gracing and that
τῷ τῶν ἀνθρώπων γένει τὸ προοίμιον τοῦ ζῆν ἀπό
to-the of-the men race the prelude of-the to-live from
τε ἐνδείας καὶ γυμνότητος, καὶ ἡ τελευτὴ ὡσαύτως εἰς
both want and nakedness and the end likewise into
ἔνδειαν ἀποτελευτᾷ καὶ γυμνότητα, μόνην φάσκων εἶναι
want ends and nakedness alone saying to-be
πάσης ἀξίαν ἐπιμελείας τὴν ἀρετήν. ταύτην οὖν χρῆναι
of-all worthy care the virtue this then (one)-must
παρήγγειλε τιμᾶν, ὡς τὴν σωτηρίαν τῆς ψυχῆς ἐν τῷ τῆς
he-commanded to-honor as the salvation of-the soul in the of-the
ἀρίστης ἀρετῆς οἴακι καθιδρυμένην, ἀσκεῖν δ' ἐξαιρέτως
best virtue tiller established to-practice and especially
εὐσέβειαν καὶ σωφροσύνην καὶ ἡμερότητα. ταύτην γὰρ
piety and temperance and gentleness this for
εἶναι τὴν μέθοδον ἀντιτεταγμένην παντὶ τῷ κατὰ τὸν
to-be the method opposed to-every the in the
βίον ἡμῶν κλύδωνι. τοιγάρτοι τούτοις αὐτοῖς καὶ τούτων
life our surge therefore with-these very and to-these
παραπλησίοις πλείοσι παραγγέλμασι τὰς ψυχὰς τῶν
similar more precepts the souls of-the

μαθητῶν κατηχήσας, ἵνα μὴ μόνον παραγγελίαις ῥηταῖς
disciples having-instructed that not only by-precepts spoken
ἀλλὰ καὶ ἔργῳ τὴν ὠφελιμωτάτην ἐπιτήδευσιν μεθέλθοιεν,
but also by-deed the most-beneficial practice they-might-pursue
ἦγεν αὐτοὺς ἡγεμονεύων διὰ μακρᾶς τινος καὶ ἀοικήτου
he-led them leading through long some and uninhabited
πορείας ἀνύδρου τε καὶ διακεκαυμένης ψάμμου. ἠγεῖτο δὲ
journey waterless both and burnt-up of-sand he-led and
καὶ διὰ κυμάτων μαινομένης θαλάττης ὑπό τε ἀνέμων
also through waves of-raging sea by and winds
ἀγριωθείσης καὶ ἀντεῖχε τὰ κύματα φέροντα ἀντιτύπως
made-wild and withstood the waves bearing resistantly
θεοῦ τε καὶ δικαίων ἀνδρῶν πορευομένων ἴχνη, τοιαύτῃ
of-God both and of-just men walking footprints by-such
δὴ καὶ τοσαύτῃ πείρᾳ δοκιμάσας τὴν πίστιν τῶν ὑπηκόων
indeed and so-great trial having-tested the faith of-the subject
δήμων παρεσκεύαζεν αὐτοὺς οὐ μόνον τῶν δεινῶν τε καὶ
peoples he-made them not only of-the terrible both and
φοβερῶν καταφρονητάς, ἀλλὰ καὶ τῆς εἰς αὐτὸν ἐλπίδος
fearsome(-things) despisers but also of-the toward him hope
γνησιωτάτους μαθητάς. καὶ δή ποτε λίαν εἴξαντα
most-genuine disciples and indeed once too-much having-yielded
θυμῷ τινα τῶν ἑταίρων καθαπτόμενος λόγοις κατέστειλεν·
to-wrath one of-the companions attacking with-words he-restrained
ἐτύγχανε δ' ἐκεῖνος ξιφήρη τινὰ ἐπιφοιτῶντα ἑαυτῷ
happened and that(-one) sword-bearing some(-one) coming-upon himself
ξίφει πειρώμενος ἀμύνεσθαι, ὡς μὴ παρούσης αὐτῷ
with-(a)-sword trying to-ward-off as-if not being-present to-him
τῆς τοῦ σωτῆρος ἐπικουρίας· τοῦτον δὴ μένειν κατὰ
of-the of-the savior help this(-one) indeed to-stay at
σχολὴν ἐκέλευσε καὶ μεθιέναι τὸ ξίφος, ἐγκαλῶν ὡς
leisure he-ordered and to-let-go the sword reproaching as

ἀπελπίσαντι τῆς πρὸς αὐτὸν καταφυγῆς, νομοθετῶν δὲ
having-despaired of-the to him refuge legislating and
διαρρήδην πάντα τὸν ἀδίκων χειρῶν κατάρξαντα ἢ πρὸς
expressly every(-one) the of-unjust hands having-begun or against
τὸν καταρξάμενον ἀδικεῖν ἐπιχειρήσαντα ξίφει τε
the(-one) having-begun to-do-wrong having-attempted with-sword and
χρησάμενον ἀπολεῖσθαι βιαίως. ἥδε ἐστὶν ὡς ἀληθῶς ἡ
having-used to-perish violently this is as truly the
οὐράνιος σοφία αἱρεῖσθαι τὸ ἀδικεῖσθαι πρὸ τοῦ ἀδικεῖν,
heavenly wisdom to-choose the to-be-wronged before the to-wrong
καὶ γενομένης ἀνάγκης ἑτοίμως ἔχειν κακῶς πάσχειν
and having-arisen necessity readily to-be ill to-suffer
μᾶλλον ἢ ποιεῖν· μεγίστου γὰρ ὄντος τοῦ ἀδικεῖν
rather than to-do greatest for being the to-do-wrong
κακοῦ, οὐχ ὁ ἀδικούμενος ἀλλ' ὁ ἀδικῶν τῇ μεγίστῃ
evil not the wronged(-one) but the wrongdoer with-the greatest
περιβέβληται τιμωρίᾳ. τῷ δ' ὑπηκόῳ τοῦ θεοῦ ἐξῆν
has-been-clothed punishment for-the and subject — of-God it-was-possible
μήτε ἀδικεῖν μήτε ἀδικεῖσθαι, θαρρήσαντι τῇ προστασίᾳ
neither to-wrong nor to-be-wronged having-trusted in-the protection
τοῦ παρόντος καὶ ἐπικουροῦντος ἀεὶ θεοῦ πρὸς τὸ μηδένα
of-the present and helping always God for the no-one
τῶν ὑπηκόων αὐτοῦ βλαβῆναι. πῶς δ' ἂν αὐτὸς ἑαυτῷ
of-the subjects his to-be-harmed how and — he-himself for-himself
τὰ κάλλιστα συνεβούλευσεν, ἢ οἷον παραιτησάμενος τὴν
the best(-things) would-have-counseled or how having-declined the
τοῦ θεοῦ βοήθειαν ᾠήθη δεῖν αὐτὸς ἑαυτῷ
— of-God help would-he-have-thought (it)-must he-himself himself
βοηθεῖν; μάχη δ' ἦν μεταξὺ δυοῖν καὶ ἀμφίβολον τὸ
to-help (a)-battle and was between two and doubtful the(-thing)
τῆς νίκης· οὐδεὶς δ' εὖ φρονῶν τὰ ἀμφίβολα πρὸ τῶν
of-the victory no-one and well minded the doubtful(-things) before the

ἀραρότων προαιρεῖται. πῶς δὲ ἔμελλε περὶ τῆς τοῦ θεοῦ
sure(-things) prefers how and was-he-to about the — of-God
παρουσίας καὶ βοηθείας ἀμφιβάλλειν ὁ τοσούτων μὲν
presence and help to-doubt the(-one) of-so-many indeed
ἐν πείρᾳ γενόμενος κινδύνων ἀεὶ δ' εὐχερῶς ῥυσθεὶς ἀπὸ
in trial having-been of-dangers always and easily rescued from
τῶν δεινῶν μόνῳ θεοῦ νεύματι, ὁ διὰ θαλάσσης
the terrors by-only of-God nod the(-one) through (the)-sea
ὁδοιπορήσας παραγγέλματι τοῦ σωτῆρος καταστορεσθείσης
having-journeyed at-(the)-command of-the savior having-been-calmed
καὶ στερεὰν παρασχομένης ὁδὸν τοῖς διαποντίοις δήμοις;
and solid having-furnished road to-the overseas peoples
αὕτη γὰρ οἶμαι προφανὴς ὑποβάθρα πίστεως καὶ θεμέλιος
this for I-think (is)-(a)-clear foundation of-faith and foundation
οὗτος πεποιθήσεως, ἡνίκα ἂν τὰ θαυμαστὰ ταῦτα
this of-confidence when — the(-things) wonderful these
καὶ ἄπιστα γινόμενα καὶ ἐπιτελούμενα ἱστορῶμεν τῇ τοῦ
and incredible happening and being-accomplished we-relate by-the of-the
προνοοῦντος κελεύσει. ἐντεῦθεν δὲ καὶ τὸ μὴ μεταμέλειν
providing(-one) command from-here and also the not to-regret
ἐπὶ τῇ πίστει παραγίνεται, ἡνίκα ἄν τις προσπίπτῃ
at the faith arises when — anyone may-fall-into
πείρᾳ κακῶν, καὶ τὸ ἄτρεπτον ἔχειν τὴν πρὸς τὸν θεὸν
(a)-trial of-evils and the unswerving to-have the toward — God
ἐλπίδα· ταύτης γὰρ τῆς ἕξεως ἐγγενομένης τῇ ψυχῇ,
hope of-this for the disposition having-arisen in-the soul
ἵδρυται κατὰ τὴν διάνοιαν ὁ θεός· ἀήττητος δ' οὗτος,
is-established in the mind — God invincible and this(-one)
οὐδὲ ἡ ψυχὴ ἄρα τὸ ἀήττητον ἔχουσα κατὰ τὴν ἑαυτῆς
nor the soul after-all the invincibility having in the its-own
διάνοιαν ὑπὸ τῶν περιεστώτων κακῶν κρατηθήσεται.
mind by the surrounding evils will-be-overcome

πείρᾳ δὲ τοῦτο μεμαθήκαμεν ἐκ τῆς τοῦ θεοῦ νίκης, ὃς
by-trial and this we-have-learned from the — of-God victory who
τὴν ὑπὲρ τῶν πάντων πρόνοιαν ποιούμενος ὑπὸ τῆς τῶν
the for the all(-things) providence making by the of-the
ἀσεβῶν ἀδικίας ἐμπαροινηθείς, μηδεμίαν ἐκ τοῦ
impious injustice having-been-abused-in-drunkenness no from the
παθήματος καρπωσάμενος βλάβην, μέγιστα νικητήρια καὶ
suffering having-reaped harm greatest victory-prizes and
ἀίδιόν τινα στέφανον κατὰ τῆς πονηρίας ἀνεδήσατο, ἐπὶ
everlasting some crown against the wickedness bound-on to
τέλος μὲν ἀγαγὼν τὴν προαίρεσιν τῆς αὐτοῦ προνοίας
end indeed having-brought the purpose of-the his providence
καὶ στοργῆς τῆς περὶ τοὺς δικαίους, συντρίψας δὲ τὴν
and love of-the toward the righteous having-crushed and the
τῶν ἀδίκων τε καὶ ἀσεβῶν ὠμότητα.
of-the unjust both and impious cruelty
Ἀλλὰ τὸ μὲν πάθημα ἐκείνου ὑπὸ τῶν προφητῶν ἤδη 16
but the indeed suffering of-that(-one) by the prophets already
προκεκήρυκτο, προκεκήρυκτο δὲ καὶ ἡ σωματικὴ γένεσις
had-been-proclaimed had-been-proclaimed and also the bodily birth
αὐτοῦ, προείρητο δὲ καὶ ὁ καιρὸς τῆς ἐνσωματώσεως,
his had-been-foretold and also the time of-the embodiment
φανερὰ δ' ἦν καὶ ἡ αἰτία τῆς σαρκώσεως αὐτοῦ, ὅπως
plain and was also the cause of-the incarnation his that
τὰ ἐκ τῆς ἀδικίας τε καὶ ἀκολασίας ἐκφύοντα
the(-things) from the injustice both and licentiousness springing-up
γεννήματα, λυμαινόμενα τοῖς δικαίοις ἔργοις καὶ τρόποις,
offspring ruining the righteous works and ways
ἀναιρεθείη, πᾶσα δὲ ἡ οἰκουμένη φρονήσεώς τε καὶ
might-be-destroyed whole and the inhabited-world of-prudence both and
σωφροσύνης μετάσχοι, ἐπικρατήσαντος σχεδὸν ἐν ταῖς
temperance might-share having-prevailed almost in the

πάντων ψυχαῖς τοῦ θεσπισθέντος ὑπὸ τοῦ σωτῆρος
of-all souls of-the decreed by the savior
νόμου, καὶ θεοσεβείας μὲν ῥωσθείσης, δεισιδαιμονίας
law and godliness indeed having-been-strengthened superstition
δὲ ἐξαλειφθείσης, δι' ἣν οὐ μόνον ἀλόγων ζώων
and having-been-wiped-out because-of which not only of-irrational animals
σφαγαί, ἀλλὰ καὶ ἀνθρωπίνων ἱερευμάτων θυσίαι καὶ
slaughters but also of-human victims sacrifices and
ἐναγῆ μιάσματα βωμῶν ἐπενοήθη, κατά τε Αἰγυπτίους
accursed pollutions of-altars were-devised according-to both Egyptian
καὶ Ἀσσυρίους νόμους χαλκηλάτοις ἢ καὶ πλαστοῖς
and Assyrian laws to-bronze-wrought or also to-molded
ἰνδάλμασιν σφαγιαζόντων ψυχὰς δικαίας. τοιγάρτοι καρπὸν
images slaughtering souls righteous therefore fruit
ἤραντο τὸν προσήκοντα τῇ τοιαύτῃ θρησκείᾳ Μέμφις καὶ
they-reaped the fitting to-the such religion Memphis and
Βαβυλών, ἐρημωθεῖσαι καὶ ἀοίκητοι καταλειφθεῖσαι μετὰ
Babylon made-desolate and uninhabited left with
τῶν πατρῴων θεῶν. καὶ ταῦτα οὐκ ἐξ ἀκοῆς λέγω, ἀλλ'
the ancestral gods and these(-things) not from hearsay I-say but
αὐτός τε παρὼν καὶ ἱστορήσας ἐπόπτης τε γενόμενος τῆς
myself both being-present and having-inquired eyewitness and having-become of-the
οἰκτρᾶς τῶν πόλεων τύχης. Μέμφις ἔρημος, ἐν ᾗ Μωϋσῆς
pitiable of-the cities fortune Memphis (is)-desolate in which Moses
κατὰ τὴν θείαν πρόσταξιν τὴν τοῦ δυνατωτάτου τότε
according-to the divine command the of-the most-powerful then
Φαραῶνος ὑπεροψίαν κατέθραυσε, τόν τε στρατὸν αὐτοῦ
Pharaoh arrogance shattered the and army his
πολλῶν καὶ μεγίστων ἐθνῶν νικηφόρον πεφραγμένως τε
of-many and greatest nations victorious guardedly both

καθωπλισμένον οὐ βελῶν τοξεύμασιν οὐδ' ἀκοντίων ῥιπαῖς
fully-armed not of-arrows with-shots nor of-javelins with-throws
μόνῃ δ' ὁσίᾳ προσευχῇ καὶ ἡμέρῳ λιτανείᾳ καθεῖλεν.
by-only but holy prayer and gentle supplication he-overthrew
Οὐδεὶς δ' ἂν ἐκείνου τοῦ δήμου μακαριώτερος γεγόνει 17
no-one and — than-that the people more-blessed would-have-become
πώποτε ἢ γένοιτο, εἰ μὴ τὰς ψυχὰς αὐτῶν ἑκόντες τοῦ
ever or might-become if not the souls their willingly from-the
ἁγίου πνεύματος ἀπεκήρυξαν. τί δ' ἂν εἴποι τις ἄξιον
holy spirit they-had-renounced what and — might-say anyone worthy
περὶ Μωϋσέως; ὃς ἄτακτον δῆμον εἰς τάξιν ἀγαγών,
about Moses who disorderly people into order having-brought
πειθοῖ τε καὶ αἰδοῖ τὰς ψυχὰς αὐτῶν κατακοσμήσας,
by-persuasion both and by-modesty the souls their having-adorned
ἀντὶ μὲν αἰχμαλωσίας ἐλευθερίαν αὐτοῖς περιεποιεῖτο,
instead-of indeed captivity freedom for-them procured
ἀντὶ δὲ σκυθρωπότητος φαιδροὺς ἐποίει, καὶ εἰς
instead-of and gloom cheerful he-made(-them) and to
τοσοῦτον τὴν ψυχὴν αὐτῶν προηγάγετο, ὥστε τῇ λίαν
so-far the soul their he-led-on so-that by-the excessive
ἐπὶ τἀναντία μεταβολῇ τῇ τε τῶν κατορθωμάτων εὐτυχίᾳ
to the-opposite change by-the and of-the successes good-fortune
ἀλαζονέστερον τῶν ἀνδρῶν τὸ φρόνημα γενέσθαι· ὃς
more-arrogant of-the men the spirit to-become who
τοσοῦτον ὑπερῆρε σοφίᾳ τοὺς πρὸ αὐτοῦ, ὥστε καὶ τοὺς
so-much surpassed in-wisdom the(-ones) before him so-that even the(-ones)
ἐπαινουμένους ὑπὸ τῶν ἐθνῶν ἤτοι σοφοὺς καὶ φιλοσόφους
praised by the nations namely wise and philosophers
ζηλωτὰς τῆς ἐκείνου σοφίας γενέσθαι. Πυθαγόρας γὰρ τὴν
emulators of-the his wisdom to-become Pythagoras for the
ἐκείνου σοφίαν μιμησάμενος εἰς τοσοῦτον ἐπὶ σωφροσύνῃ
his wisdom having-imitated to so-great for temperance

διαβεβόηται, ὥστε καὶ τῷ σωφρονεστάτῳ Πλάτωνι
has-been-renowned so-that even to-the most-temperate Plato
παράδειγμα τὴν ἑαυτοῦ ἐγκράτειαν καταστῆσαι. Δανιὴλ δὲ
(an)-example the his-own self-control to-make Daniel and
ὁ θεσπίσας τὰ μέλλοντα καὶ τῆς ἐξοχωτάτης
the(-one) having-prophesied the(-things) to-come and of-the most-surpassing
μεγαλοψυχίας ἐργάτης ἠθῶν τε καὶ παντὸς βίου κάλλει
magnanimity (a)-worker of-manners both and of-all life in-beauty
διαπρέψας πόσην τινὰ καὶ πῶς τραχεῖαν κατηγωνίσατο
having-excelled how-great some and how harsh he-struggled-through
δυσχέρειαν τοῦ κατ᾽ Ἀσσυρίαν τότε τυράννου; ὄνομα
difficulty of-the in Assyria then tyrant name
δ᾽ ἐκείνῳ Ναβουχοδονόσορ ἦν, οὗ πάσης τῆς γενεᾶς
and to-that(-one) Nebuchadnezzar was whose all the race
ἐξαλειφθείσης ἡ σεμνὴ καὶ ὑπερμεγέθης ἐκείνη δύναμις
having-been-wiped-out the august and immense that power
πρὸς τοὺς Πέρσας διῆλθε. διαβόητος γὰρ ἦν καὶ ἄχρι νῦν
to the Persians passed renowned for was and until now
ἐστὶν ὁ πλοῦτος τοῦ τυράννου, καὶ ἡ ἄκαιρος περὶ τὴν μὴ
is the wealth of-the tyrant and the untimely about the not
δέουσαν θρησκείαν ἐπιμέλεια, μετάλλων τε παντοδαπῶν εἰς
fitting religion care of-metals and all-kinds-of for
τὴν τῶν θεῶν κατασκευὴν δαψίλεια καὶ ναῶν οὐρανομήκη
the of-the gods making abundance and of-temples sky-high
ὑψώματα, φρικτοί τε καὶ πρὸς ὠμότητα οἱ τῆς θρησκείας
heights horrible both and to cruelty the of-the religion
συντεθέντες νόμοι· ὧν πάντων ὁ Δανιὴλ καταφρονήσας
composed laws which all — Daniel having-despised
διὰ τὴν ἄχραντον πρὸς τὸν ὄντως θεὸν εὐσέβειαν,
because-of the undefiled toward the truly(-existing) God piety
τὴν ἄκαιρον τοῦ τυράννου σπουδὴν μεγάλου τινὸς κακοῦ
the untimely of-the tyrant zeal of-great some evil

ἐσομένην αἰτίαν ἐμαντεύετο. ἀλλ᾽ οὐκ ἔπειθε τὸν τύραννον·
going-to-be cause he-prophesied but not he-persuaded the tyrant
ὁ γὰρ ἄφθονος πλοῦτος ἐμπόδιον πρὸς τὸ καλῶς φρονεῖν
the for abundant wealth (a)-hindrance to the well to-think
ὑπάρχει. τέλος γοῦν τὸ ἄγριον τῆς ἑαυτοῦ διανοίας
is at-last at-any-rate the savagery of-the his-own mind
ὁ δυνάστης ἐξέφηνε, θηρσὶν ἀγρίοις διαλυμανθῆναι τὸν
the potentate revealed by-beasts wild to-be-mangled the
δίκαιον κελεύσας. γενναία γε μὴν καὶ ἡ τῶν ἀδελφῶν
just(-man) having-ordered noble at-least indeed also the of-the brothers
ἐν τῷ μαρτυρεῖν ὁμοδοξία· οὓς οἱ μετὰ ταῦτα
in the bearing-witness unanimity whom the(-ones) after these(-things)
ζηλώσαντες ὑπερμεγέθη δόξαν τῆς πρὸς τὸν σωτῆρα
having-emulated immense glory of-the toward the savior
πίστεως ἤραντο, πυρὶ καὶ καμίνῳ καὶ τοῖς εἰς τὸ φαγεῖν
faith won with-fire and furnace and by-the for the to-eat
αὐτοὺς τεταγμένοις δεινοῖς ἀδήωτοι, ἁγνῇ τε σωμάτων
them appointed terrors unravaged by-pure and of-bodies
προσβολῇ τὸ ἐμπεριεχόμενον τῇ καμίνῳ πῦρ ἀπωθούμενοι.
application the contained in-the furnace fire repelling
Δανιὴλ δὲ μετὰ τὴν κατάλυσιν τῆς Ἀσσυρίων βασιλείας,
Daniel and after the dissolution of-the of-Assyrians kingdom
ἀναιρεθείσης κεραυνῶν βολαῖς, ἐπὶ Καμβύσην τῶν Περσῶν
destroyed by-thunderbolts' strokes to Cambyses the of-Persians
βασιλέα μετῆλθεν ἐκ θείας προνοίας, φθόνος δὲ κἀνταῦθα,
king passed from divine providence envy and even-there
καὶ πρός γε τῷ φθόνῳ ὀλέθριοι μάγων ἐπιβουλαί,
and besides at-least the envy destructive of-magi plots
διαδοχαί τε κινδύνων μεγάλων τε καὶ πολλῶν, ἐξ ὧν
successions and of-dangers great both and many from which
πάντων συναιρομένης τῆς Χριστοῦ προνοίας σωθεῖς εὐχερῶς
all helping the of-Christ providence saved easily

παντοίας ἀρετῆς πείρᾳ διέπρεψεν. οἱ γάρ τοι μάγοι, τρὶς
of-all-kinds-of virtue in-trial he-excelled the for surely magi thrice
τῆς ἡμέρας εὐχομένου τοῦ ἀνδρὸς μεγάλας τε καὶ ἐξαισίους
of-the day praying the man great both and extraordinary
ἀρετὰς ἀξιομνημονεύτων ἔργων κατορθοῦντος, αὐτὴν τὴν
virtues of-memorable deeds accomplishing the-very the
τῶν εὐχῶν ἐπίτευξιν φθόνῳ διέβαλλον, ἐπικίνδυνον σφόδρα
of-the prayers success with-envy slandered dangerous very
τὴν τοσαύτην αὐτοῦ δύναμιν διαβάλλοντες πρὸς τὸν
the so-great his power slandering to the
δυνάστην ἔπεισαν αὐτόν, τοσούτων ἀγαθῶν δημοσίᾳ
potentate persuaded him of-so-many goods publicly
παραίτιον τοῖς Πέρσαις γενόμενον, λεόντων ἀγρίων θοίνῃ
(the)-cause to-the Persians having-become of-lions wild to-(a)-feast
κατακριθῆναι. καθεῖρκτο δὲ κατακριθεὶς οὐκ εἰς ὄλεθρον
to-be-condemned was-confined and having-been-condemned not to destruction
ἀλλ᾽ αἰώνιον εὐδοξίαν ὁ Δανιήλ, καὶ ἐν μέσοις τοῖς
but everlasting glory — Daniel and in (the)-midst-of the
θηρσὶν ἐξεταζόμενος ἠπίων καὶ ἡμερωτέρων τῶν θηρίων
beasts being-tested gentle and tamer the beasts
ἢ τῶν καθειρξάντων ἐπειρᾶτο· πάντας γὰρ εὐχὴ
than the(-ones) having-confined(-him) he-found all for prayer
κοσμιότητος καὶ σωφροσύνης ἀρετῇ συναιρομένη τιθασοὺς
of-orderliness and of-temperance by-virtue helped tame
ἀπειργάζετο τοὺς λυσσώδεις τῇ φύσει. γνωσθέντων δὲ
made the rabid by-the nature having-become-known and
τούτων τῷ Καμβύσῃ (οὐδὲ γὰρ δυνατὸν ἦν τοσαύτης
these(-things) — to-Cambyses not-even for possible it-was of-so-great
οὕτω τε θείας δυνάμεως κατορθώματα ἐπισκιάζεσθαι),
thus and divine power achievements to-be-overshadowed
ὑπερεκπέπληκτο μὲν αὐτὸς τῷ θαύματι τῶν
was-utterly-amazed indeed he-himself at-the wonder of-the(-things)

ἀγγελλομένων, μετεγίνωσκε δὲ ἐπὶ τῷ πεισθῆναι ταῖς
reported repented and at the to-have-been-persuaded by-the
διαβολαῖς τῶν μάγων εὐχερῶς· ὅμως γοῦν ἐτόλμησε
slanders of-the magi easily nevertheless at-any-rate he-dared
τῆς θέας ἐκείνης ἐπόπτης γενέσθαι καὶ ἰδεῖν τὸν ἄνδρα
of-the sight that witness to-become and to-see the man
ἑκατέρας τῆς χειρὸς ὑψώματι τὸν Χριστὸν ὑμνοῦντα, τοὺς
of-each the hand by-raising — Christ hymning the
δὲ λέοντας ὑποβεβλημένους καὶ οἱονεὶ τὰ ἴχνη τοῦ
and lions lying-down and as-it-were the footprints of-the
ἀνδρὸς προσκυνοῦντας, καὶ παραχρῆμα τοὺς ἀναπείσαντας
man worshiping and at-once the having-persuaded
αὐτὸν μάγους τῇ αὐτῇ ζημίᾳ κατέκρινε, καθεἰρξέ τε τῇ
him magi to-the same penalty he-condemned he-confined and in-the
τῶν λεόντων αὐλῇ τοὺς μάγους, οἱ δὲ θῆρες οἱ τὸν
of-the lions court the magi the and beasts the(-ones) the(-man)
μικρῷ πρόσθεν κολακεύσαντες ἐπεφοίτων τοῖς μάγοις καὶ
little before having-fawned-on attacked the magi and
πάντας αὐτοὺς κατὰ τὴν ἑαυτῶν φύσιν ἐλυμήναντο.
all them according-to the their-own nature mangled
Παρίσταται δέ μοι καὶ τῶν ἀλλοδαπῶν τι μαρτυριῶν 18
it-occurs and to-me also of-the foreign some testimonies
τῆς τοῦ Χριστοῦ θεότητος ἀπομνημονεῦσαι· ἐκ γάρ τοι
of-the — of-Christ divinity to-recall from for surely
τούτων δηλονότι καὶ ἡ τῶν βλασφημούντων αὐτὸν
these evidently also the of-the(-ones) blaspheming him
διάνοια οἶδεν αὐτὸν θεὸν ὄντα καὶ θεοῦ παῖδα, εἴπερ
mind knows him God being and of-God son if-indeed
γοῦν τοῖς ἑαυτῶν λόγοις πιστεύουσιν. ἡ τοίνυν Ἐρυθραία
at-any-rate to-the their-own words they-believe the therefore Erythraean
Σίβυλλα, φάσκουσα ἑαυτὴν ἕκτῃ γενεᾷ μετὰ τὸν
Sibyl declaring herself in-(the)-sixth generation after the

κατακλυσμὸν γενέσθαι, ἱέρεια ἦν τοῦ Ἀπόλλωνος, διάδημα
flood to-have-been priestess was — of-Apollo (a)-diadem
ἐπ᾽ ἴσης τῷ θρησκευομένῳ ὑπ᾽ αὐτῆς θεῷ φοροῦσα,
on equal(-terms) with-the worshiped by her god wearing
καὶ τὸν τρίποδα περὶ ὃν ὁ ὄφις εἱλεῖτο περιέπουσα,
and the tripod around which the serpent was-coiled tending
ἀποφοιβάζουσά τε τοῖς χρωμένοις αὐτῇ, ἠλιθιότητι τῶν
prophesying and to-the(-ones) consulting her by-folly of-the
γονέων ἐπιδεδωκότων αὐτὴν τοιαύτῃ λατρείᾳ, δι᾽ ἣν
parents having-given her to-such service because-of which
ἀσχήμονες θυμοὶ καὶ οὐδὲν σεμνὸν ἐπιγίνεται, κατὰ τὰ
unseemly passions and nothing august arises according-to the
αὐτὰ τοῖς ἱστορουμένοις περὶ τῆς Δάφνης. αὕτη
same(-things) with-the(-things) recorded about — Daphne she
τοίνυν εἴσω τῶν ἀδύτων ποτὲ τῆς ἀκαίρου δεισιδαιμονίας
therefore within the shrines once by-the untimely superstition
προαχθεῖσα καὶ θείας ἐπιπνοίας ὄντως γενομένη μεστή, δι᾽
having-been-led and of-divine inspiration truly having-become full through
ἐπῶν περὶ τοῦ θεοῦ τὰ μέλλοντα προεθέσπισεν, σαφῶς
verses about — God the(-things) to-come foretold clearly
ταῖς προτάξεσι τῶν πρώτων γραμμάτων, ἥτις ἀκροστιχὶς
by-the placings-in-front of-the first letters which (an)-acrostic
λέγεται, δηλοῦσα τὴν ἱστορίαν τῆς τοῦ Ἰησοῦ κατελεύσεως.
is-called showing the story of-the — of-Jesus descent

Ἱδρώσει γὰρ χθών, κρίσεως σημεῖον ὅτ᾽ ἔσται·
Will-sweat for (the)-earth of-judgment (a)-sign when it-will-be
Ἥξει δ᾽ οὐρανόθεν βασιλεὺς αἰῶσιν ὁ μέλλων
Will-come and from-heaven (a)-king for-ages the(-one) to-come
Σάρκα παρὼν πᾶσαν κρῖναι καὶ κόσμον ἅπαντα.
Flesh being-present all to-judge and (the)-world whole

Ὄψονται δὲ θεὸν μέροπες πιστοὶ καὶ ἄπιστοι
Will-see and God mortals faithful and faithless
Ὕψιστον μετὰ τῶν ἁγίων ἐπὶ τέρμα χρόνοιο,
Most-high with the holy(-ones) at (the)-end of-time
Σαρκοφόρων ψυχὰς δ' ἀνδρῶν ἐπὶ βήματι κρίνει.
Of-flesh-bearing souls and men at (the)-judgment-seat he-judges
Χέρσος ὅταν ποτε κόσμος ὅλος καὶ ἄκανθα γένηται,
Dry-land when ever (the)-world whole and thorn becomes
Ῥίψωσίν τ' εἴδωλα βροτοὶ καὶ πλοῦτον ἅπαντα,
Cast-away and idols mortals and wealth all
Ἐκκαύσῃ δὲ τὸ πῦρ γῆν οὐρανὸν ἠδὲ θάλασσαν,
Burn-up and the fire earth heaven and sea
Ἰχνεῦον ῥήξῃ τε πύλας εἱρκτῆς ἀίδαο.
Tracking may-break and (the)-gates of-(the)-prison of-Hades
Σὰρξ τότε πᾶσα νεκρῶν ἐς ἐλευθέριον φάος ἥξει,
Flesh then all of-(the)-dead into free light will-come
Τοὺς ἁγίους ἀνόμους τε τὸ πῦρ αἰῶσιν ἐλέγξει,
The holy(-ones) lawless and the fire for-ages will-test
Ὁππόσα τις πράξας ἔλαθεν, τότε πάντα λαλήσει.
Whatever anyone having-done escaped-notice then all will-speak
Στήθεα γὰρ ζοφόεντα θεὸς φωστῆρσιν ἀνοίξει,
Breasts for dark God with-lights will-open
Θρῆνος τ' ἐκ πάντων ἔσται καὶ βρυγμὸς ὀδόντων.
Lament and from all will-be and gnashing of-teeth
Ἐκλείψει σέλας ἠελίου ἄστρων τε χορεῖαι,
Will-fail (the)-gleam of-(the)-sun of-stars and dances
Οὐρανὸν εἰλίξει, μήνης δέ τε φέγγος ὀλεῖται.
Heaven he-will-roll-up of-(the)-moon and and light will-perish
Ὑψώσει δὲ φάραγγας, ὀλεῖ δ' ὑψώματα βουνῶν.
Will-raise and valleys will-destroy and heights of-hills

Ὕψος δ’ οὐκ ἔτι λυγρὸν ἐν ἀνθρώποισι φανεῖται,
Height and no longer grievous among men will-appear
Ἰσά τ’ ὄρη πεδίοις ἔσται, καὶ πᾶσα θάλασσα
Level and mountains with-plains will-be and all sea
Οὐκ εἰς πλοῦν εἴξει· γῆ γὰρ φρυχθεῖσα κεραυνῷ,
Not for sailing will-yield (the)-earth for parched by-thunderbolt
Σὺν πηγαῖς ποταμοί τε καχλάζοντες λείψουσιν,
With springs rivers and roaring will-fail
Σάλπιγξ δ’ οὐρανόθεν φωνὴν πολύθρηνον ἀφήσει,
Trumpet and from-heaven (a)-voice much-lamenting will-send-forth
Ὠρύουσα μύσος μέλεον καὶ πήματα κόσμου.
Howling (the)-pollution wretched and woes of-(the)-world
Ταρταρόεν δὲ χάος δείξει τότε γαῖα χανοῦσα,
Tartarean and chaos will-show then earth gaping
Ἥξουσιν δ’ ἐπὶ βῆμα θεοῦ βασιλῆες ἅπαντες.
Will-come and to (the)-judgment-seat of-God kings all
Ρεύσει δ’ οὐρανόθεν ποταμὸς πυρὸς ἠδὲ θείου,
Will-flow and from-heaven (a)-river of-fire and of-brimstone
Σῆμα δέ τοι τότε πᾶσι βροτοῖς ἀριδείκετον, οἷον
Sign and surely then to-all mortals conspicuous such
Τὸ ξύλον ἐν πιστοῖς, τὸ κέρας τὸ ποθούμενον ἔσται·
The wood among (the)-faithful the horn the longed-for will-be
Ἀνδρῶν εὐσεβέων ζωή, πρόσκομμά τε κόσμου,
Of-men pious life stumbling-block and of-(the)-world
Ὕδασι φωτίζον κλητοὺς ἐν δώδεκα πηγαῖς·
With-waters enlightening (the)-called in twelve springs
Ράβδος ποιμαίνουσα σιδηρείη γε κρατήσει.
(A)-rod shepherding iron at-least will-rule
Οὗτος ὁ νῦν προγραφεὶς ἐν ἀκροστιχίοις θεὸς ἡμῶν
This the now written-before in acrostics God our
Σωτὴρ ἀθάνατος βασιλεὺς ὁ παθὼν ἕνεχ’ ἡμῶν.
Savior immortal king the(-one) having-suffered for-the-sake-of us

Καὶ ταῦτα τῇ παρθένῳ δηλαδὴ θεόθεν ἐπέστη
and these(-things) to-the virgin evidently from-God came
προκηρύξαι. μακαρίαν δ' αὐτὴν ἔγωγε κρίνω, ἣν ὁ
to-foretell blessed and her I judge whom the
σωτὴρ ἐξελέξατο προφῆτιν τῆς ἑαυτοῦ περὶ ἡμῶν
savior chose (as)-prophetess of-the his-own concerning us
προμηθείας.
providence

VI · VERGIL'S FOURTH ECLOGUE

Some suspect that a Christian forged the Sibyl's verses, but Cicero translated them into Latin before Christ came, and Vergil echoed her. Constantine reads the Eclogue as a veiled prophecy of Christ: the virgin returning, the child born of the divine spirit, the golden race replacing the iron, the serpent and its poison perishing, the earth bearing unsown, and Achilles at Troy as the warring savior. The poet hid the truth in allegory lest he seem to attack the ancestral gods.

Ἀλλ' οἱ πολλοὶ τῶν ἀνθρώπων ἀπιστοῦσιν, καὶ ταῦτα 19
but the many of-the men disbelieve even these(-things)
ὁμολογοῦντες Ἐρυθραίαν γεγενῆσθαι Σίβυλλαν μάντιν,
confessing Erythraean to-have-been Sibyl (a)-prophetess
ὑποπτεύουσι δέ τινα τῶν τῆς ἡμετέρας θρησκείας
suspect but someone of-the of-the our religion
ποιητικῆς μούσης οὐκ ἄμοιρον τὰ ἔπη ταῦτα πεποιηκέναι,
of-poetic muse not without-share the verses these to-have-made
νοθεύεσθαί τε αὐτὰ καὶ Σιβύλλης θεσπίσματα εἶναι
to-be-forged and them and of-(the)-Sibyl oracles to-be
λέγεσθαι, ἔχοντα βιωφελεῖς γνώμας τὴν πολλὴν τῶν
to-be-said having useful-for-life maxims the great of-the
ἡδονῶν περικοπτούσας ἐξουσίαν καὶ ἐπὶ τὸν σώφρονά τε
pleasures cutting-off license and to the sober both

καὶ κόσμιον βίον ὁδηγούσας. ἐν προφανεῖ δ' ἀλήθεια, τῆς
and orderly life guiding in open(-view) but (the)-truth of-the
τῶν ἡμετέρων ἀνδρῶν ἐπιμελείας συλλεξάσης τοὺς χρόνους
of-the our men care having-collected the times
ἀκριβέστερον, ὡς πρὸς τὸ μηδένα τοπάζειν μετὰ τὴν τοῦ
more-exactly so-that for the no-one to-suppose after the —
Χριστοῦ κάθοδον καὶ κρίσιν γεγενῆσθαι τὸ ποίημα καὶ
of-Christ descent and judgment to-have-been-made the poem and
ὡς πάλαι προλεχθέντων ὑπὸ Σιβύλλης τῶν ἐπῶν ψεῦδος
that long-ago foretold by (the)-Sibyl of-the verses lie
διαφημίζεσθαι. ὡμολόγηται γὰρ Κικέρωνα ἐντετυχηκότα
to-be-spread-abroad it-is-agreed for Cicero having-read
τῷ ποιήματι μετενεγκεῖν τε αὐτὸ εἰς τὴν Ῥωμαίων
the poem to-have-translated and it into the of-Romans
διάλεκτον καὶ ἐντάξαι αὐτὸ τοῖς ἑαυτοῦ συντάγμασιν,
tongue and to-have-placed it among-the his-own works
τοῦτον δ' ἀνῃρῆσθαι κρατήσαντος Ἀντωνίου· Ἀντωνίου
this(-man) but to-have-been-killed having-prevailed Antony Antony
δ' αὖ πάλιν Αὔγουστον περιγεγενῆσθαι, ὃς ἕξ καὶ
and in-turn again Augustus to-have-overcome who six and
πεντήκοντα ἔτεσιν ἐβασίλευσε. τοῦτον Τιβέριος διεδέξατο,
fifty years reigned this(-one) Tiberius succeeded
καθ' ὃν χρόνον ἡ τοῦ σωτῆρος ἐξέλαμψε παρουσία, καὶ
in which time the of-the savior shone-forth presence and
τὸ τῆς ἁγιωτάτης θρησκείας ἐπεκράτησε μυστήριον ἥ τε
the of-the most-holy religion prevailed mystery the and

νέα τοῦ δήμου διαδοχὴ συνέστη, περὶ ἧς οἶμαι λέγειν
new of-the people succession was-established about which I-think to-say
τὸν ἐξοχώτατον τῶν κατὰ Ἰταλίαν ποιητῶν·
the most-eminent of-the in Italy poets

Ἔνθεν ἔπειτα νέα πληθὺς ἀνδρῶν ἐφαάνθη.
Thence then new multitude of-men appeared

καὶ πάλιν ἐν ἑτέρῳ τινὶ τῶν Βουκολικῶν τόπῳ·
and again in another some of-the Bucolics place

Σικελίδες Μοῦσαι, μεγάλην φάτιν ὑμνήσωμεν.
Sicilian Muses great report let-us-hymn

τί τούτου φανερώτερον; προστίθησι γάρ·
what than-this clearer he-adds for

Ἦλυθε Κυμαίου μαντεύματος εἰς τέλος ὀμφή,
Has-come of-(the)-Cumaean oracle to fulfillment (the)-voice

Κυμαίαν αἰνιττόμενος δηλαδὴ τὴν Σίβυλλαν. καὶ οὐκ
Cumaean hinting-at evidently the Sibyl and not
ἠρκέσθη τούτοις, ἀλλὰ περαιτέρω προεχώρησεν, ὡς τῆς
he-was-content with-these but further he-advanced as the
χρείας τὴν αὐτοῦ μαρτυρίαν ἐπιποθούσης· τί λέγων;
need the his testimony longing-for what saying

Αὖθις ἄρ᾽ αἰώνων ἱερὸς στίχος ὄρνυται ἡμῖν·
Again after-all of-ages sacred row rises for-us
Ἥκει παρθένος αὖθις ἄγουσ᾽ ἐρατὸν βασιλῆα.
Comes (the)-virgin again bringing lovely king

τίς οὖν ἂν εἴη παρθένος ἡ ἐπανήκουσα; ἆρ᾽ οὐχ ἡ
who then — might-be (the)-virgin the(-one) returning is not she
πλήρης τε καὶ ἔγκυος γενομένη τοῦ θείου πνεύματος; καὶ
full both and pregnant having-become of-the divine spirit and
τί τὸ κωλῦον τὴν ἔγκυον τοῦ θείου πνεύματος
what the(-thing) hindering the pregnant(-one) of-the divine spirit
κόρην εἶναι ἀεὶ καὶ διαμένειν παρθένον; ἐπανήξει δὲ ἐκ
maiden to-be always and to-remain virgin she-will-return and from
δευτέρου, ὅταν καὶ ὁ θεὸς ἐκ δευτέρου τὴν οἰκουμένην
(a)-second(-time) when also — God from (a)-second(-time) the inhabited-world
παραγενόμενος ἐπικουφίσῃ. καὶ προστίθησιν ὁ ποιητής·
having-come may-lighten and adds the poet

Τὸν δὲ νεωστὶ πάϊν τεχθέντα, φαεσφόρε μήνη,
The and newly child born light-bearing moon
Ἀντὶ σιδηρείης χρυσῆν γενεὴν ὀπάσαντα,
Instead-of iron golden race having-granted
Προσκύνει.
Worship
Τοῦδε γὰρ ἄρχοντος τὰ μὲν ἕλκεα πάντα βρότεια
Of-this-one for ruling the indeed wounds all mortal
Ἴαται, στοναχαὶ δὲ κατευνάζονται ἀλιτρῶν.
Are-healed groans and are-laid-to-rest of-sinners

συνίεμεν δὴ φανερῶς τε ἅμα καὶ ἀποκρύφως δι᾽
we-understand indeed clearly both at-once and secretly through
ἀλληγοριῶν ταῦτα λεχθέντα, τοῖς μὲν βαθύτερον
allegories these(-things) said to-the(-ones) indeed more-deeply
ἐξετάζουσι τὴν τῶν ἐπῶν δύναμιν ὑπ᾽ ὄψιν ἀγομένης
examining the of-the verses force before sight brought
τῆς τοῦ Χριστοῦ θεότητος, ὅπως δὲ μή τις τῶν
the — of-Christ divinity that but not anyone of-the(-ones)

δυναστευόντων ἐν τῇ βασιλευούσῃ πόλει ἐγκαλεῖν ἔχῃ
holding-power in the reigning city to-accuse might-have
τῷ ποιητῇ, ὡς παρὰ τοὺς πατρῴους νόμους συγγράφοντι
the poet as against the ancestral laws writing
ἐκβάλλοντί τε τὰ πάλαι ὑπὸ τῶν προγόνων περὶ τῶν
casting-out and the(-things) of-old by the forefathers about the
θεῶν νομιζόμενα, ἐπικαλύπτεται τὴν ἀλήθειαν. ἠπίστατο γὰρ
gods held he-covers-over the truth he-knew for
οἶμαι τὴν μακαρίαν καὶ ἐπώνυμον τοῦ σωτῆρος τελετήν,
I-think the blessed and named-after of-the savior rite
ἵνα δὲ τὸ ἄγριον τῆς ὠμότητος ἐκκλίνοι, ἤγαγε τὰς
that but the savage of-the cruelty he-might-avoid he-led the
διανοίας τῶν ἀκουόντων πρὸς τὴν ἑαυτῶν συνήθειαν,
minds of-the(-ones) hearing toward the their-own custom
καί φησι χρῆναι βωμοὺς ἱδρύσθαι καὶ νεὼς κατασκευάζειν
and he-says (one)-must altars to-be-set-up and temples to-build
θυσίας τ᾽ ἐπιτελεῖσθαι τῷ νεωστὶ τεχθέντι. ἀκολούθως
sacrifices and to-be-performed to-the newly born consistently
δὲ καὶ τὰ λοιπὰ ἐπήγαγε τοῖς φρονοῦσι. φησὶ γάρ·
and also the rest he-added to-the(-ones) understanding he-says for

Λήψεται ἀφθάρτοιο θεοῦ βίοτον καὶ ἀθρήσει
Will-receive of-imperishable God life and will-behold
Ἥρωας σὺν ἐκείνῳ ἀολλέας· ἠδὲ καὶ αὐτὸς
Heroes with that(-one) gathered and also himself
Πατρίδι καὶ μακάρεσσιν ἐελδομένοισι φανεῖται,
To-(his)-fatherland and to-(the)-blessed longing will-appear
Πατροδότοις ἀρετῇσι κυβερνῶν ἡνία κόσμου.
With-father-given virtues steering (the)-reins of-(the)-world

Σοὶ δ’ ἄρα, παῖ, πρώτιστα φύει δωρήματα γαῖα
For-you and after-all child first brings-forth gifts earth
Κριθὴν ἠδὲ κύπειρον, ὁμοῦ κολακάσσι᾽ ἀκάνθῳ.
Barley and galingale together with-bean-flower with-acanthus

θαυμαστὸς ἀνὴρ καὶ πάσῃ παιδείᾳ κεκοσμημένος, ὃς
wonderful man and with-all learning adorned who
ἀκριβῶς ἐπιστάμενος τὴν τῶν τότε παρόντων καιρῶν
exactly understanding the of-the then present times
ὠμότητα·
cruelty

Σοὶ δ’ αἶγες θαλεραί,
For-you and goats flourishing

φησίν,
he-says

μαστοῖς καταβεβριθυῖαι,
with-udders laden
Αὐτόματοι γλυκὺ νᾶμα συνεκτελέουσι γάλακτος,
Of-their-own-accord sweet stream will-yield of-milk
Οὐδὲ θέμις ταρβεῖν βλοσυροὺς ἀγέλῃσι λέοντας.
Nor (is-it)-right to-fear fierce for-herds lions

ἀληθῆ λέγων· ἡ γὰρ πίστις τῆς βασιλικῆς αὐλῆς τοὺς
true(-things) saying the for faith of-the imperial court the
δυνάστας οὐ φοβηθήσεται.
rulers not will-fear

Φύσει δ' εὐώδη τὰ σπάργανα σεῖό γε ποίην
Will-bring-forth and fragrant the swaddling-clothes your at-least herb
Ὄλλυται ἰοβόλου φύσις ἑρπετοῦ, ὄλλυται ***
Perishes of-venom-darting nature of-serpent perishes (lacuna)
Λοίγιος, Ἀσσύριον θάλλει κατὰ τέμπε' ἄμωμον.
Deadly(-herb) Assyrian blooms through vales amomum

τούτων οὐδὲν ἀληθέστερον οὐδὲ τῆς τοῦ σωτῆρος ἀρετῆς
than-these nothing truer nor of-the of-the savior virtue
οἰκειότερον εἴποι τις ἄν· αὐτὰ γὰρ τὰ τοῦ θεοῦ σπάργανα,
more-proper might-say anyone — very for the — of-God swaddling-clothes
πνεύματος ἁγίου δύναμις, εὐώδη τινὰ ἄνθη νεολαίᾳ ὤπασε
of-spirit holy power fragrant some flowers to-(the)-young granted
γέννᾳ. ὁ δὲ ὄφις ἀπόλλυται, καὶ ὁ ἰὸς τοῦ ὄφεως ἐκείνου,
offspring the but serpent perishes and the venom of-the serpent that
ὃς τοὺς πρωτοπλάστους πρῶτος ἐξηπάτα, παράγων τὰς
which the first-formed first deceived leading-astray the
διανοίας αὐτῶν ἀπὸ τῆς ἐμφύτου σωφροσύνης ἐπὶ τὴν τῶν
minds their from the inborn temperance to the of-the
ἡδονῶν ἀπόλαυσιν, ὅπως γνοῖεν τὸν ἐπηρτημένον αὐτοῖς
pleasures enjoyment that they-might-learn the hanging-over them
ὄλεθρον. πρὸ γάρ τοι τῆς κατελεύσεως τοῦ σωτῆρος τῆς
destruction before for surely of-the descent of-the savior of-the
ἀθανασίας τῶν δικαίων ἀγνοίᾳ τὰς ψυχὰς τῶν ἀνθρώπων
immortality of-the righteous by-ignorance the souls of-the men
ἐπὶ μηδεμιᾷ χρηστῇ ἐλπίδι ἐρειδομένας ἔθραυε, παθόντος
upon no good hope resting he-was-crushing having-suffered

δὲ αὐτοῦ καὶ πρὸς καιρὸν τοῦ περιτεθέντος σώματος
but him and for (a)-season of-the put-on body
χωρισθέντος ἐκ τῆς κοινωνίας τοῦ ἁγίου πνεύματος,
separated from the fellowship of-the holy spirit
ἀπεκαλύφθη τοῖς ἀνθρώποις τὸ δυνατὸν τῆς ἀναστάσεως,
was-revealed to-the men the possibility of-the resurrection
καὶ εἴ τις ἰλὺς ἀνθρωπίνων ἀδικημάτων κατελείπετο, αὕτη
and if any filth of-human wrongs was-left this
πᾶσα λουτροῖς ἁγίοις ἐσμήχετο. τότε δὴ παρακελεύεται
all by-baths holy was-washed-away then indeed he-exhorts
τοῖς ὑπηκόοις θαρρεῖν, καὶ ἐκ τῆς αὐτοῦ σεμνῆς διασήμου
the subjects to-take-courage and from the his august renowned
τε ἀναστάσεως τὰ ὅμοια ἐλπίζειν ἐκέλευσεν. οὐκοῦν
and resurrection the like(-things) to-hope he-bade therefore
δικαίως ἐτελεύτα πᾶσα ἡ τῶν ἰοβόλων φύσις, ἐτελεύτα
justly ended all the of-the venomous nature ended
δὲ καὶ θάνατος, ἐπεσφραγίσθη δὲ ἡ ἀνάστασις, ἀπώλετο
and also death was-sealed and the resurrection perished
δὲ καὶ τὸ τῶν Ἀσσυρίων γένος, ὃ παραίτιον ἐγένετο
and also the of-the Assyrians race which jointly-responsible became
τῆς πίστεως τοῦ θεοῦ, φύεσθαι δὲ ἀνέδην καὶ πανταχοῦ
of-the faith — of-God to-grow and freely and everywhere
φάσκων τὸ ἄμωμον πλῆθος τῶν θρησκευόντων
saying the blameless multitude of-the(-ones) worshiping
προσαγορεύει· οἷον γὰρ ἐκ μιᾶς ῥίζης πλῆθος κλάδων
he-calls as for from one root (a)-multitude of-branches
εὐώδεσι θάλλον ἄνθεσιν, ἀρδόμενον συμμετρίᾳ δρόσου,
with-fragrant blooming flowers watered by-due-measure of-dew

βλαστάνει. πεπαιδευμένως δέ, ὦ σοφώτατε ποιητὰ Μάρων,
sprouts learnedly and O most-wise poet Maro
καὶ τὰ ἑξῆς ἅπαντα ἀκολούθως ἔχει·
and the following all consistently holds

Αὐτίκα δ' ἡρώων ἀρετὰς πατρὸς τε μεγίστου
Forthwith and of-heroes virtues of-father and greatest
Ἔργ' ὑπερηνορέῃσι κεκασμένα πάντα μαθήσῃ.
Deeds with-manliness adorned all you-will-learn

τοὺς μὲν τῶν ἡρώων ἐπαίνους τὰ τῶν δικαίων ἀνδρῶν
the indeed of-the heroes praises the of-the righteous men
ἔργα σημαίνων, τὰς δὲ ἀρετὰς τοῦ πατρὸς τὴν τοῦ κόσμου
deeds signifying the and virtues of-the father the of-the world
σύνταξιν καὶ τὴν εἰς αἰώνιον διαμονὴν ἀπεργασίαν λέγων,
arrangement and the to eternal duration accomplishment saying
ἴσως δὲ καὶ τοὺς νόμους, οἷς ἡ θεοφιλὴς ἐκκλησία χρῆται
perhaps and also the laws which the God-loving church uses
ἐπιτηδεύουσα τὸν μετὰ δικαιοσύνης τε καὶ σωφροσύνης
practicing the with justice both and temperance
βίον. θαυμαστὴ δὲ καὶ ἡ τοῦ μεταξὺ τῶν τε ἀγαθῶν
life wonderful and also the of-the in-between of-the both good
καὶ τῶν κακῶν βίου ἐπὶ τὸ ἀνηγμένον παραύξησις, τὸ
and of-the evil life to the elevated increase the
ἀθρόον τῆς αἰφνιδίου μεταβολῆς παραιτουμένου·
sudden of-the abrupt change declining

Πρῶτα μὲν ἀνθερίκων ξανθῶν ἤγοντο ἀλωαί·
First indeed of-ears yellow were-brought threshing-floors

(τουτέστιν, ὁ καρπὸς τοῦ θείου νόμου ἤγετο εἰς χρείαν.)
that-is the fruit of-the divine law was-brought into use

Ἐν δ' ἐρυθροῖσι βάτοισι παρήορος ἤλδανε βότρυς,
On and red brambles hanging grew (the)-grape-cluster

(ἅπερ οὐκ ἦν κατὰ τὸν ἄθεσμον βίον,)
which not was in the lawless life

Σκληρῶν δ' ἐκ πεύκης λαγόνων μέλιτος ῥέε νᾶμα·
Of-hard and from pine of-flanks of-honey flowed (a)-stream

τὴν ἠλιθιότητα τῶν τότε ἀνθρώπων καὶ τὸ κατεσκληκὸς
the foolishness of-the then men and the hardened
ὑπογράφων ἦθος· ἴσως δὲ καὶ τοὺς τὸν τοῦ θεοῦ πόνον
describing character perhaps and also the(-ones) the — of-God toil
ἀσκοῦντας τῆς ἑαυτῶν καρτερίας γλυκύν τινα καρπὸν
practicing of-the their-own endurance sweet some fruit
λήψεσθαι διδάσκων.
to-receive teaching

Παῦρα δ' ὅμως ἴχνη προτέρας περιλείπεται ἄτης·
Few but nevertheless traces of-former remain of-ruin
Πόντον ἐπαΐξαι περὶ τ' ἄστεα τείχεσι κλεῖσαι,
(The)-sea to-rush-upon around and cities with-walls to-enclose
Ῥῆξαί τ' εἰλιπόδων ἑλκύσμασι τέλσον ἀρούρης·
To-break and of-rolling-footed(-oxen) with-draggings (the)-end of-(the)-plowland

Ἄλλος ἔπειτ᾽ ἔσται Τῖφυς, καὶ Θεσσαλὶς Ἀργώ,
Another then will-be Tiphys and Thessalian Argo
Ἀνδράσιν ἡρώεσσιν ἀγαλλομένη, πολέμου δὲ
With-men heroic exulting of-war and
Τρώων καὶ Δαναῶν πειρήσεται αὖθις Ἀχιλλεύς.
Of-Trojans and of-Danaans will-make-trial again Achilles

εὖγ᾽, ὦ σοφώτατε ποιητά· τὴν γὰρ ποιητικὴν ἐξουσίαν
well-done O most-wise poet the for poetic license
μέχρι τοῦ προσήκοντος ἐταμιεύσω. οὐ γὰρ ἦν σοί
to the fitting you-managed not for was for-you
προκείμενον ἀποθεσπίσαι μὴ ὄντι γε προφήτῃ, ἐκώλυεν
proposed to-prophesy not being at-least (a)-prophet hindered
δέ τις οἶμαι καὶ κίνδυνος τοῖς ἐλέγχουσι τὰ
and some I-think also danger for-the(-ones) refuting the(-things)
ὑπὸ τῶν προγόνων νομισθέντα ἐπηρτημένος. πεφραγμένως
by the forefathers held hanging-over guardedly
δὴ καὶ ἀκινδύνως κατὰ τὸ δυνατὸν τοῖς συνιέναι
indeed and safely according-to the possible to-the(-ones) to-understand
δυναμένοις παραστήσας τὴν ἀλήθειαν, πύργους καὶ πόλεμον
able having-presented the truth towers and war
αἰτιασάμενος, ἅπερ ἀληθῶς ἔτι καὶ νῦν ἐξετάζεται κατὰ
having-blamed which truly still even now is-examined in
τὸν τῶν ἀνθρώπων βίον, τὸν μὲν Ἀχιλλέα χαρακτηρίζει
the of-the men life — indeed Achilles he-figures
τὸν σωτῆρα ὁρμῶντα ἐπὶ τὸν Τρωικὸν πόλεμον, τὴν
(as)-the savior rushing to the Trojan war the
δὲ Τροίαν τὴν οἰκουμένην πᾶσαν. ἐπολέμησε γοῦν
and Troy the inhabited-world whole he-warred at-any-rate
ἄντικρυς τῆς ἀντικειμένης δυνάμεως πονηρᾶς, πεμφθεὶς
directly-against the opposing power wicked sent

ἐξ οἰκείας τε προνοίας καὶ παραγγελίας μεγίστου
from own both providence and command of-(the)-greatest
πατρός. τί δὴ μετὰ ταῦτα ὁ ποιητὴς λέγει;
father what indeed after these(-things) the poet says

Ἀλλ' ὅταν ἠνορέης ὥρη καὶ καρπὸς ἵκηται,
But when of-manhood (the)-season and fruit may-come

(τουτέστιν, ἐπειδὰν ἀνδρωθεὶς τὰ περιέχοντα τὸν
that-is when having-become-a-man the(-things) besetting the
βίον τῶν ἀνθρώπων ῥιζόθεν ἐξέλῃ τήν τε ξύμπασαν
life of-the men from-the-root he-may-take-out the and whole
γῆν εἰρήνῃ κατακοσμήσῃ,)
earth with-peace may-adorn

Οὐχ ὅσιον ναύτῃσιν ἁλιτρύτοισιν ἀλᾶσθαι,
Not holy for-sailors sea-worn to-wander
Φυομένων ἄμυδις γαίης ἄπο πίονι μέτρῳ,
Growing all-together of-earth from in-rich measure
Αὐτὴ δ' ἄσπαρτος καὶ ἀνήροτος· οὐδὲ μὲν ἀκμὴν
Itself and unsown and unplowed nor indeed (the)-edge
Ὀτραλέου δρεπάνοιο ποθησέμεν ἄμπελον οἶμαι.
Of-(the)-swift sickle to-long-for (the)-vine I-think
Οὐδ' ἐρίου δεύοιτο βροτὸς πόκον, αὐτόματος δὲ
Nor of-wool would-need (a)-mortal fleece of-its-own-accord and
Ἀρνειὸς Τυρίῃσι περιπρέψει λιβάδεσσι,
(The)-ram with-Tyrian will-shine dyes
Σάνδυκι πορφυρέῳ λάχνην ῥυπόεσσαν ἀμείβων.
With-vermilion purple (its)-fleece dirty changing

Ἀλλ᾽ ἄγε τιμῆεν σκῆπτρον βασιλήϊδος ἀρχῆς
But come honored scepter of-royal rule
Δεξιτερῆς ἀπὸ πατρὸς ἐριβρεμέταο δέδεξο.
(The)-right from of-(the)-father loud-thundering receive
Κόσμου κητώεντος ὁρῶν εὖπηκτα θέμεθλα,
Of-(the)-world vast-hollowed seeing (the)-well-built foundations
Χαρμοσύνην γαίης τε καὶ οὐρανοῦ ἠδὲ θαλάσσης,
Joy of-earth both and of-heaven and of-sea
Γηθόσυνόν τ᾽ αἰῶνος ἀπειρεσίου λάσιον κῆρ.
Rejoicing and of-age boundless shaggy heart
Εἴθε με γηραλέον δώῃ πότε νήδυμος ἰσχὺς
Would-that me aged may-give ever sweet strength
Σὴν ἀρετὴν κελαδεῖν, ἐφ᾽ ὅσον δύναμίς γε παρείη·
Your virtue to-sing for as-long-as power at-least might-be-present
Οὐκ ἄν μ᾽ ἐκπλήξειεν ὁ Θρᾳκῶν δῖος ἀοιδός,
Not — me would-astonish the of-Thracians divine singer
Οὐ Λίνος, οὐ Πὰν αὐτός, ὃν Ἀρκαδίη τέκετο χθών·
Not Linus not Pan himself whom Arcadian bore earth
Ἀλλ᾽ οὐδ᾽ αὐτὸς ὁ Πὰν ἀνθέξεται εἵνεκα νίκης.
But not-even himself — Pan will-hold-out for-the-sake-of victory

Κόσμου κητώεντος ὅρα, φησί, καὶ τῶν στοιχείων
Of-(the)-world vast-hollowed see he-says and of-the elements
ἁπάντων χαράν.
all joy

The Eclogue's child is no mere man: an earth that bears unsown, smiling parents, and a bed never touched fit only a divine birth, whose Spirit knows no bed. Constantine credits his victories to Godliness, against whom tyrants waged a war their torturers wearied of, and asks the persecutors what gods they served, gods made by craftsmen. He bids them compare their religion with the Christians' concord, humanity, correction that heals rather than destroys, and sincere faith, whose reward is eternal life.

21 Ταῦτα δόξειεν ἄν τις τῶν οὐκ εὖ φρονούντων περὶ
these(-things) might-think — anyone of-the(-ones) not well minded about
γενεᾶς ἀνθρώπου λέγεσθαι. παιδὸς δὲ τεχθέντος ἀνθρώπου,
(the)-birth of-(a)-man to-be-said of-(a)-child but born of-(a)-man
ποῖον δὴ ἔχει λόγον γῆν ἄσπαρτον καὶ ἀνήροτον καὶ τήν
what indeed has reason earth unsown and unplowed and the
γε ἄμπελον μὴ ἐπιποθεῖν τὴν δρεπάνου ἀκμὴν μηδὲ τὴν
at-least vine not to-long-for the of-(a)-sickle edge nor the
ἄλλην ἐπιμέλειαν; πῶς ἂν νοηθείη λεχθὲν ἐπὶ γενεᾶς
other care how — might-be-understood said of birth
ἀνθρωπίνης; ἡ γάρ τοι φύσις θείας ἐστὶ προστάξεως
human the for surely nature of-divine is command
διάκονος, οὐκ ἀνθρωπίνης κελεύσεως ἐργάτις. ἀλλὰ καὶ
servant not of-human bidding worker but also
στοιχείων χαρὰ θεοῦ κάθοδον, οὐκ ἀνθρώπου τινὸς
of-(the)-elements joy of-God descent not of-man some
χαρακτηρίζει κύησιν, τό τε εὔχεσθαι τὸν ποιητὴν τοῦ βίου
figures conception the and to-pray the poet of-the life
τέλος αὐτῷ μηκύνεσθαι θείας ἐπικλήσεως σύμβολον· παρὰ
end for-him to-be-prolonged of-divine invocation (a)-token from
θεοῦ γὰρ τὸν βίον καὶ τὸ σώζεσθαι ἀξιοῦν εἰθίσμεθα, οὐ
God for the life and the to-be-saved to-ask we-are-accustomed not

πρὸς ἀνθρώπου. ἡ γοῦν Ἐρυθραία πρὸς τὸν θεόν· τί
from man the at-any-rate Erythraean(-Sibyl) to — God why
δή μοι, φησίν, ὦ δέσποτα, τὴν τῆς μαντείας ἐπισκήπτεις
indeed on-me she-says O master the of-the prophecy you-lay-on
ἀνάγκην, καὶ οὐχὶ μᾶλλον ἀπὸ τῆς γῆς μετέωρον ἀρθεῖσαν
necessity and not rather from the earth aloft having-been-lifted
διαφυλάττεις ἄχρι τῆς μακαριωτάτης σῆς ἐλεύσεως ἡμέρας;
you-keep-safe until the most-blessed your coming's day
ὁ δὲ Μάρων πρὸς τοῖς εἰρημένοις ἐπιφέρει καὶ τάδε·
— and Maro besides the(-things) said adds also these(-things)

Ἄρχεο μειδιόωσαν ὁρῶν τὴν μητέρα κεδνὴν
Begin smiling seeing the mother kindly
Γνωρίζειν· ἡ γάρ σε φέρεν πολλοὺς λυκάβαντας.
To-recognize she for you carried many years
Σοὶ δὲ γονεῖς οὐ πάμπαν ἐφημερίῳ γ' ἐγέλασσαν,
At-you and (your)-parents not at-all ephemeral at-least laughed
Οὐδ' ἥψω λεχέων, οὐδ' ἔγνως δαῖτα θάλειαν.
Nor did-you-touch beds nor did-you-know feast abundant

πῶς γὰρ ἂν πρὸς τοῦτον οἱ γονεῖς ἐμειδίασαν; ὁ μὲν
how for — toward this(-one) the parents smiled — indeed
γὰρ αὐτῶν θεός, ἄποιος δύναμις, καὶ ἀσχημάτιστος μέν,
for of-them God qualityless power and shapeless indeed
ἐν περιγραφῇ δὲ ἄλλων, οὐκ ἀνθρωπίνου δὲ σώματος.
in circumscription but of-others not of-human but body
λέκτρων δὲ ἄπειρον τίς οὐκ οἶδεν ὂν τὸ ἅγιον πνεῦμα;
of-beds but inexperienced who not knows being the holy spirit
ποία δὲ ἐπιθυμία ἔφεσίς τε ἐν τῇ τοῦ ἀγαθοῦ διαθέσει,
what-sort and desire yearning and in the of-the good disposition
οὗ πάντα ἐφίενται; τί δ' ὅλως κοινὸν σοφίᾳ τε καὶ
which all(-things) yearn-for what and at-all (is)-common to-wisdom both and

ἡδονῇ; ἀλλὰ ταῦτα ἐφείσθω λέγειν τοῖς ἀνθρωπίνην
to-pleasure but these(-things) let-it-be-left to-say to-the(-ones) human
τινὰ καὶ ὀχλοχαρῆ παιδείαν μετερχομένοις, παιδείας δὲ
some and crowd-pleasing learning pursuing of-learning but
θείας ἀπείροις· οἱ μὲν γὰρ ἐπιδείξεως καὶ δόξης ἕνεκα
divine inexperienced they indeed for of-display and of-glory for-the-sake-of
ἀλαζονεύονται, οἱ δὲ τὴν ψυχὴν αὐτῶν καθαρεύειν ἀπὸ
boast they and the soul their to-be-pure from
παντὸς κακοῦ ἔργου τε καὶ ῥήματος παρασκευάζουσιν.
every evil deed both and word prepare
ἐπικαλοῦμαι δὲ σὲ αὐτὴν σύμμαχον τοῖς λεγομένοις,
I-invoke and you yourself (as)-ally for-the(-things) said
ὦ θεοσέβεια, ἁγνόν τινα νόμον ὑπάρχουσαν, πάντων
O godliness pure some law being of-all
τε ἀγαθῶν εὐκταιοτάτην ἐλπίδα, ὁσιότητος διδάσκαλον,
and goods most-prayed-for hope of-holiness teacher
ἀθανασίας ὑπόσχεσιν ἀκίβδηλον· σὲ μέν, εὐσέβεια καὶ
of-immortality promise genuine you indeed piety and
φιλανθρωπία, προσκυνῶ, σαῖς δὲ θεραπείαις χάριν ἀΐδιον
humanity I-worship to-your and services gratitude everlasting
ὀφείλομεν οἱ ἰαθέντες. ὁ δὲ ἄπειρος ὄχλος τῆς σῆς
we-owe we having-been-healed the but inexperienced crowd of-the your
ἐπικουρίας διὰ τὴν ἔμφυτον πρὸς σὲ ἀπέχθειαν καὶ τὸν
help because-of the inborn toward you hatred also —
θεὸν ἀποστρέφεται, οὐδὲ οἶδεν τὴν αἰτίαν ὅλως τοῦ ζῆν
God turns-away-from nor knows the cause at-all of-the to-live
καὶ εἶναι, αὐτόν τε καὶ τοὺς λοιποὺς δυσσεβεῖς ἐκ τοῦ
and to-be himself both and the other impious(-men) from the
πρὸς τὸ κρεῖσσον καθήκοντος ἠρτῆσθαι· πᾶς γὰρ ὁ κόσμος
toward the better befitting to-depend-on whole for the world
ἐκείνου κτῆμα καὶ ὅσα ἐστὶν ἐν κόσμῳ.
of-that-one (is-the)-possession and as-many(-things)-as are in (the)-world

Ἐγὼ μὲν τῆς εὐτυχίας τῆς ἐμαυτοῦ καὶ τῶν ἐμῶν πάντων 22
I indeed of-the good-fortune of-the my-own and of-the my all(-affairs)
αἰτιῶμαι τὴν σὴν εὐμένειαν. μαρτυρεῖ δὲ καὶ ἡ ἔκβασις
credit the your goodwill bears-witness and also the outcome
τῶν κατ᾽ εὐχὰς ἁπάντων, ἀνδραγαθίαι, νῖκαι, κατὰ τῶν
of-the according-to prayers all brave-deeds victories against the
πολεμίων τρόπαια, σύνοιδεν δὲ καὶ μετ᾽ εὐφημίας ἐπαινεῖ
enemies trophies is-conscious and also with acclamation praises
καὶ ἡ μεγάλη πόλις, βούλεται δὲ καὶ ὁ δῆμος τῆς φιλτάτης
also the great city wishes and also the people of-the dearest
πόλεως, εἰ καὶ πρὸς ταῖς σφαλεραῖς ἐλπίσιν ἐξαπατηθεὶς
city even-if also besides the precarious hopes deceived
ἀνάξιον ἑαυτῆς προείλετο προστάτην, ὃς παραχρῆμα ἑάλω
unworthy of-itself chose (a)-champion who at-once was-caught
προσηκόντως τε καὶ ἀξίως τοῖς ἑαυτῷ τετολμημένοις,
fittingly both and worthily to-the(-things) by-himself dared
ὧν οὐ θέμις ἀπομνημονεῦσαι, μάλιστα ἐμοὶ τῷ
which not right to-recall especially for-me the(-one)
διαλεγομένῳ πρὸς σὲ καὶ πᾶσαν ἐπιμέλειαν ποιουμένῳ,
conversing with you and all care making
πῶς ἂν ἁγναῖς καὶ εὐφήμοις διαλέξεσι προσείποιμί σε. ἐρῶ
how — with-pure and auspicious conversations I-might-address you I-shall-say
δέ τι ἴσως οὐκ ἄσχημον οὐδὲ ἀπρεπές. ὑπερβάλλων
but something perhaps not unseemly nor unfitting surpassing
μέντοι μανίᾳ καὶ ὠμότητι προκεκήρυκτό σοί ποτε,
however in-madness and cruelty was-proclaimed against-you once
ὦ θεοσέβεια, καὶ πάσαις ταῖς ἁγιωτάταις σου ἐκκλησίαις
O godliness and against-all the most-holy your churches
ὑπὸ τυράννων πόλεμος ἄσπονδος, καὶ οὐκ ἐπέλειψάν
by tyrants war truceless and not were-lacking
τινες τῶν ἐν τῇ Ῥώμῃ τηλικούτοις ἐπιχαίροντες
some of-the(-ones) in — Rome at-such rejoicing

δημοσίοις κακοῖς, παρεσκεύαστο δὲ καὶ πεδίον τῇ μάχῃ.
public evils was-prepared and also (a)-field for-the battle
σὺ δὲ προσελθοῦσα ἐπέδωκας σεαυτὴν ἐπερειδομένη τῇ
you but having-come-forward gave yourself leaning on-the
πρὸς θεὸν πίστει· θνητῶν δὲ δυσσεβῶν ὠμότης δίκην
toward God faith of-mortals and impious cruelty like
πυρὸς ἀκαταπαύστως ἐπινεμησαμένη θαυμαστὴν καὶ διὰ
fire unceasingly having-spread wonderful and through
παντὸς ἀοίδιμον εὐδοξίαν προσῆψέ σοι· σέβας γὰρ διὰ
all celebrated glory attached to-you awe for because-of
ταῦτα εἶχε τοὺς θεωμένους, τοὺς μὲν αὐτοὺς δημίους
these(-things) held the(-ones) beholding the indeed very executioners
καὶ στρεβλοῦντας τὰ τῶν εὐσεβῶν σώματα κάμνοντας
and torturers the of-the pious bodies growing-weary
καὶ δυσπετοῦντας πρὸς τὰ δεινά, παρειμένους δὲ τοὺς
and being-at-a-loss toward the terrors relaxed and the
δεσμοὺς καὶ τάς γε βασάνους αὐτὰς ἐκλύτους καὶ τὰς
bonds and the at-least tortures themselves loosened and the
προσφερομένας καύσεις ἀμαυρουμένας, τῶν δὲ ὀπαδῶν
applied burnings dimmed of-the but followers
τοῦ θεοῦ δυστρέπτων τὴν πρὸς τοὺς πόνους στερρότητα
— of-God unbending the toward the toils firmness
καὶ οὐδὲ πρὸς ὀλίγον ὀκλαζόντων τὴν παρρησίαν. τί
and not-even for little bending the boldness what
οὖν ταῦτα τολμῶν ὤνησας, ὦ δυσσεβέστατε; τί δὲ τὸ
then these(-things) daring did-you-profit O most-impious what and the
αἴτιον τῆς ἐκστάσεως τῶν φρενῶν; ἐρεῖς ὅτι διὰ τὴν
cause of-the derangement of-the mind you-will-say that because-of the
πρὸς τοὺς θεοὺς τιμήν· τίνας τούτους; ἢ ποίαν τινὰ ἀξίαν
toward the gods honor whom these or what-sort some worthy
τῆς θείας φύσεως λαμβάνεις ἔννοιαν; ὀργίλους ἡγῇ
of-the divine nature do-you-take conception wrathful do-you-think

κατὰ σὲ τοὺς θεοὺς εἶναι; εἰ δ' οὖν ἦσαν τοιοῦτοι,
like you the gods to-be if but then they-were such
ἐχρῆν θαυμάζειν αὐτῶν τὴν προαίρεσιν, οὐ πειθαρχεῖν
it-was-necessary to-wonder-at their the choice not to-obey
τοῖς ἀναιδέσι προστάγμασι, δικαίων ἀνδρῶν σφαγὰς
the shameless commands of-just men slaughters
ἀδίκως ἐπαράντων. ἐρεῖς ἴσως διὰ τὰ ὑπὸ τῶν
unjustly having-incited you-will-say perhaps because-of the(-things) by the
προγόνων νομισθέντα καὶ τὴν τῶν ἀνθρώπων ὑπόληψιν·
forefathers held and the of-the men opinion
συγχωρῶ. καὶ γάρ ἐστι παραπλήσια τοῖς δρωμένοις
I-grant and for it-is similar to-the(-things) done
τὰ νομιζόμενα μιᾶς τε καὶ τῆς αὐτῆς ἀφροσύνης·
the(-things) held of-one both and the same folly
ᾠήθης ἴσως εἶναι τινὰ δύναμιν ἐξαίρετον ἐν τοῖς ὑπὸ
you-thought perhaps to-be some power special in the(-things) by
τεκτόνων καὶ δημιουργῶν ἐσκευασμένοις ἀνθρωπομόρφοις·
carpenters and craftsmen made man-shaped
τοιγάρτοι περιεῖπες αὐτὰ πᾶσαν ποιούμενος ἐπιμέλειαν,
therefore you-tended them all making care
ὅπως μή ποτε ῥυπωθείεν, μεγίστων καὶ ἐξαιρέτων θεῶν
that not ever they-might-be-soiled greatest and special gods
ἀνθρωπίνης δεομένων ἐπιμελείας.
of-human needing care
Ἀντεξέταζε τὴν ἡμετέραν θρησκείαν πρὸς τὰ ὑμέτερα. οὐκ 23
compare the our religion with the yours (is)-not
ἐνταῦθα μὲν ὁμόνοια γνησία καὶ διαρκὴς φιλανθρωπία,
here indeed concord genuine and lasting humanity
ἔλεγχος δὲ παίσματος νουθεσίαν οὐκ ὄλεθρον φέρων,
reproof and of-(a)-fault admonition not destruction bringing
θεραπεία δὲ οὐκ ὠμότητος ἀλλὰ σωτηρίας, καὶ πίστις
treatment and not of-cruelty but of-salvation and faith

εἰλικρινὴς πρῶτον μὲν πρὸς τὸν θεόν, ἔπειτα δὲ καὶ πρὸς
sincere first indeed toward — God then and also toward
τὴν φυσικὴν τῶν ἀνθρώπων κοινωνίαν, ἔλεος δὲ τῶν
the natural of-the men fellowship pity and of-the(-ones)
οὓς ἐπολέμησεν ἡ τύχη, ἁπλοῦς δὲ βίος καὶ οὐ ποικίλῃ
whom has-warred-against the fortune simple and life and not with-variegated
τινὶ πανουργίᾳ τὴν πονηρίαν ἐπικαλυπτόμενος, τοῦ τε
some villainy the wickedness covering of-the both
ὄντως θεοῦ καὶ τῆς μοναρχίας γνῶσις; ἥδε ἐστὶν
truly(-existing) God and of-the monarchy knowledge this is
ἀληθῶς θεοσέβεια, ἥδε εἰλικρινὴς θρησκεία ἡ παντελῶς
truly godliness this sincere religion the wholly
ἄχραντος, οὗτος ἔμφρων βίος, ὃν οἱ μετιόντες ὡς διὰ
undefiled this sensible life which the(-ones) pursuing as through
λεωφόρου σεμνῆς τινος ἐπὶ τὸν ἀέναον πορεύονται βίον·
(a)-highway august some to the everlasting go life
οὐδεὶς γὰρ ὅλως τελευτᾷ ὁ τὸν τοιοῦτον ἐνστησάμενος
no-one for at-all dies the(-one) the such having-established
βίον καθαρεύων τε τὴν ψυχὴν ἀπὸ τοῦ σώματος, πληροῖ
life purifying and the soul from the body fulfills
δὲ μᾶλλον τὴν προσταχθεῖσαν αὐτῷ θεόθεν λειτουργίαν
but rather the commanded to-him from-God service
ἢ ἀποθνήσκει· ὁ γάρ τοι τὸν θεὸν ὁμολογήσας οὐ
than dies the(-one) for surely — God having-confessed not
γίνεται πάρεργον ὕβρεως οὐδὲ θυμοῦ, ἀλλ᾽ εὐγενῶς τὴν
becomes (a)-by-work of-outrage nor of-wrath but nobly the
ἀνάγκην ὑποστὰς τὴν τῆς καρτερίας πεῖραν ἐφόδιον
necessity having-undergone the of-the endurance trial (as)-provision
ἔχει τῆς πρὸς τοῦ θεοῦ εὐμενείας. οὐδὲν γὰρ ἀμφίβολον
has of-the from — God goodwill nothing for doubtful
τὴν τῶν ἀνθρώπων ἀρετὴν ἀσπάζεσθαι τὸ θεῖον· καὶ
the of-the men virtue to-welcome the divine and

γὰρ ἂν εἴη τῶν ἀτοπωτάτων τοὺς μὲν ἀνθρώπους,
for — it-would-be of-the most-absurd(-things) the indeed men
ὅταν τυγχάνωσιν εὐεργετούμενοι, ἤτοι ὑπὸ τῶν τῆς
when they-happen being-benefited either by the(-ones) of-the
αὐτῆς ἐξουσίας ἐπειλημμένων ἢ καὶ ὑποδεεστέρων,
same authority having-taken-hold or even inferior(-ones)
ἃ θεραπεύοντες τυγχάνοιεν οἱ εὐεργετοῦντες αὐτούς
what(-things) serving they-happen the benefactors them
εὐχαρίστως κατατίθεσθαι καὶ ἀντευεργετεῖν, τὸν δὲ ὑπὲρ
gratefully to-acknowledge and to-benefit-in-return the but over
πάντας ἀρχηγόν τε τῶν πάντων καὶ τὸ ἀγαθὸν αὐτὸ
all leader both of-the all(-things) and the good itself
καταμελεῖν τῆς ἀμοιβῆς, ὃ συμπαρομαρτεῖ μὲν ἡμῶν τῷ
to-neglect of-the requital which accompanies indeed our the
παντὶ βίῳ καὶ πάρεστιν ἡμῖν τηνικαῦτα, ὁσάκις ἀγαθόν
whole life and is-present to-us then as-often-as good
τι ποιῶμεν, καὶ παραχρῆμα μὲν ἀποδεχόμενον τῆς
anything we-do and at-once indeed accepting of-the
ἀνδρείας καὶ εὐδικίας εὐεργετεῖ, τὴν δὲ συμπλήρωσιν τῆς
courage and righteousness benefits the but completion of-the
ἀμοιβῆς εἰς τὴν τοῦ βίου συμπλήρωσιν ἡμῶν ὑπερτίθεται·
requital to the of-the life completion our postpones
πᾶσα γὰρ ἡ τοῦ βίου ψῆφος τηνικαῦτα λογοθετεῖται, ἐν
whole for the of-the life reckoning then is-audited in
ᾧ χρόνῳ τὸ σῶμα ὑπὸ τῆς ψυχῆς καταλείπεται, αὐτὴ
which time the body by the soul is-left itself
δὲ ἡ ψυχὴ καθαρὰ καὶ ἄχραντος καθαρῷ καὶ ἀχράντῳ
and the soul pure and undefiled to-pure and undefiled
τῷ θείῳ πελάζει. ἥδε μὲν οὖν ἡ τοῦ θείου δικαιοσύνη, καὶ
the divine draws-near this indeed then the of-the divine justice and
οὗτος ὁ τῶν δικαίων ἐξετασμός, πείρας γενομένης κατὰ
this the of-the just examination trial having-been-made in

τὸν βίον πίστεως τε καὶ ἐγκρατείας, καὶ ἐπειδὰν ταῦτα
the life of-faith both and of-self-control and when these(-things)
καλῶς ἔχῃ, ὁ μισθὸς ἐπακολουθεῖ τῆς αἰωνίου ζωῆς,
well stand the reward follows of-the eternal life
μετέρχεται δὲ καὶ τοὺς πονηροὺς ἡ προσήκουσα τιμωρία.
pursues and also the wicked the fitting punishment

VIII · THE END OF THE PERSECUTORS

Constantine asks Decius, Valerian, and Aurelian how they fare now: Decius fell with his army on the Scythian plains, Valerian was led captive and flayed by the Persian king Sapor, and Aurelian was cut down on a Thracian road. Diocletian gave up his throne and lived in fear of the thunderbolt that burned his palace; an emperor's lustful decrees failed, and providence freed Rome. Constantine, whose service his hearers praise, ascribes it to God and urges the pious to win Christ's favor with prayers.

24 Σὲ δὲ νῦν τὸν Δέκιον ἐρωτῶ, τὸν ἐπεμβαίνοντά ποτε
you and now — Decius I-ask the(-one) trampling-upon once
τοῖς τῶν δικαίων πόνοις, τὸν τὴν ἐκκλησίαν μισήσαντα,
the of-the just labors the(-one) the church having-hated
τὸν ἐπιθέντα τιμωρίαν τοῖς ὁσίως βεβιωκόσι· τί
the(-one) having-laid punishment on-the(-ones) holily having-lived what
δὴ νῦν πράσσεις μετὰ τὸν βίον; ποίαις δὲ καὶ πῶς
indeed now do-you-fare after the life in-what-sort and also how
δυστραπέλοις συνέχῃ περιστάσεσιν; ἔδειξε δὲ καὶ ὁ
intractable are-you-held circumstances showed and also the
μεταξὺ τοῦ βίου καὶ τῆς τελευτῆς χρόνος τὴν σὴν εὐτυχίαν,
between the life and the end time the your good-fortune
ἡνίκα ἐν τοῖς Σκυθικοῖς πεδίοις πανστρατιᾷ πεσὼν
when in the Scythian plains with-the-whole-army having-fallen

τὸ περιβόητον Ῥωμαίων κράτος ἦγες τοῖς Γέταις
the far-famed of-Romans power you-brought for-the Getae
εἰς καταφρόνησιν. ἀλλὰ σύγε, Οὐαλεριανέ, τὴν αὐτὴν
into contempt but you-at-least Valerian the same
μιαιφονίαν ἐνδειξάμενος τοῖς ὑπηκόοις τοῦ θεοῦ, τὴν ὁσιαν
bloodthirstiness having-displayed toward-the subjects — of-God the holy
κρίσιν ἐξέφηνας ἁλοὺς αἰχμάλωτός τε καὶ δέσμιος
judgment you-revealed having-been-caught (a)-captive both and in-bonds
ἀχθεὶς σὺν αὐτῇ πορφυρίδι καὶ τῷ λοιπῷ βασιλικῷ
having-been-led with very purple and the rest imperial
κόσμῳ, τέλος δὲ ὑπὸ Σαπώρου τοῦ Περσῶν βασιλέως
adornment at-last and by Sapor the of-Persians king
ἐκδαρῆναι κελευσθεὶς καὶ ταριχευθεὶς τρόπαιον τῆς
to-be-flayed having-been-ordered and having-been-pickled (a)-trophy of-the
σαυτοῦ δυστυχίας ἔστησας αἰώνιον. καὶ σὺ δέ, Αὐρηλιανέ,
your-own misfortune you-set-up eternal and you too Aurelian
φλὸξ πάντων ἀδικημάτων, πῶς ἐπιφανῶς, διατρέχων
flame of-all wrongs how conspicuously running-through
ἐμμανῶς τὴν Θρᾴκην, κοπεὶς ἐν μέσῃ λεωφόρῳ
madly — Thrace having-been-cut-down in middle highway
τοὺς αὔλακας τῆς ὁδοῦ ἀσεβεῖ αἵματι ἐπλήρωσας.
the furrows of-the road with-impious blood you-filled
Διοκλητιανὸς δὲ μετὰ τὴν μιαιφονίαν τοῦ διωγμοῦ αὐτὸς 25
Diocletian and after the bloodshed of-the persecution himself
ἑαυτοῦ καταψηφισάμενος, λέληθεν ἀποκηρύξας μὲν
on-himself having-passed-sentence has-escaped-notice having-renounced indeed
ἑαυτὸν τῆς ἀρχῆς ὡς ἄχρηστον, ὁμολογήσας δὲ τὴν
himself from-the rule as useless having-confessed and the
τῆς ἀφροσύνης βλάβην μιᾶς εὐκαταφρονήτου οἰκήσεως
of-the folly harm of-one contemptible dwelling
καθειργμῷ. τί δὴ τούτῳ συνήνεγκε πρὸς τὸν θεὸν ἡμῶν
by-confinement what indeed to-this(-one) profited-it against — God our

τὸν πόλεμον ἐνστήσασθαι; ἵν' οἶμαι τὴν τοῦ κεραυνοῦ βολὴν
the war to-set-up that I-think the of-the thunderbolt stroke
δεδιὼς διαγάγοι τὸν ἐπίλοιπον βίον. λαλεῖ Νικομήδεια,
fearing he-might-spend the remaining life speaks Nicomedia
οὐ σιωπῶσι δὲ καὶ οἱ ἱστορήσαντες, ὧν καὶ αὐτὸς
not are-silent and also the(-ones) having-recorded(-it) of-whom also myself
ὢν τυγχάνω. εἶδον γάρ, ἡνίκα εὐτελὴς τὸ φρόνημα
being happen I-saw for when mean the spirit
καὶ πᾶσαν μὲν πρόσοψιν παντοῖον δὲ ψόφον δεδιὼς
and every indeed sight every-kind-of and noise fearing
ἐποτνιᾶτο τῶν περιεστώτων κακῶν αἰτίαν γεγενῆσθαι
he-bewailed of-the surrounding evils (the)-cause to-have-become
τὴν ἀφροσύνην ἑαυτοῦ προκαλεσαμένου καθ' ἑαυτοῦ τὴν
the folly his-own having-called-forth against himself the
θείαν τοῖς δικαίοις ἐπικουρίαν. ἐδηοῦτο μέντοι τὰ βασίλεια
divine for-the just help was-ravaged however the palace
καὶ ὁ οἶκος αὐτοῦ, ἐπινεμομένου σκηπτοῦ νεμομένης τε
and the house his consuming (a)-thunderbolt spreading and
οὐρανίας φλογός. καὶ προείρητό γε ἡ τούτων ἔκβασις
heavenly flame and had-been-foretold at-least the of-these outcome
ὑπὸ τῶν εὖ φρονούντων· οὐδὲ γὰρ ἐσιώπων οὐδὲ τὴν
by the(-ones) well minded neither for they-were-silent nor the
οἰμωγὴν τῶν ἀναξίως γιγνομένων ἐπεκαλύπτοντο,
lament of-the(-things) unworthily happening they-covered
φανερῶς δὲ καὶ δημοσίᾳ παρρησιαζόμενοι πρὸς ἀλλήλους
openly but and publicly speaking-freely with one-another
διελέγοντο. „τίς ἡ τοσαύτη μανία; πόση δὲ ἡ τῆς
they-conversed what the so-great madness how-great and the of-the
δυναστείας ἀλαζονεία τὸ τολμᾶν πολεμεῖν θεῷ ὄντας
power arrogance the to-dare to-war against-God being
ἀνθρώπους, ἁγνοτάτῃ δὲ καὶ δικαιοτάτῃ θρησκείᾳ
men against-(the)-most-pure and also most-just religion

θέλειν ἐμπαροινεῖν, τοσούτου δὲ δήμου καὶ ἀνθρώπων
to-wish to-behave-outrageously of-so-great and people and of-men
δικαίων ὄλεθρον μηδεμιᾶς προϋπαρχούσης πλημμελείας
just destruction no pre-existing fault
μηχανήσασθαι, καὶ ταῦτα εὐκαιρίας τε οὔσης ἰδίᾳ τε καὶ
to-contrive and that opportunity and being privately both and
δημοσίᾳ, δεξιῶς φερομένων πάντων πραγμάτων, ὁμονοίας
publicly favorably going all affairs of-concord
τε τῶν δυναστευόντων βεβαίας μενούσης. ἔσται
and of-the(-ones) in-power firm remaining there-will-be
τούτων τίσις, ἔσται τοῦ ἀδίκως αἵματος ἐκχυθέντος
of-these requital there-will-be of-the unjustly blood having-been-shed
ἐκδικία, καὶ ἴσως γε τούς τε αἰτίους καὶ τοὺς ἀναιτίους
vengeance and perhaps at-least the both guilty and the guiltless
ἡ αὐτὴ περιλήψεται συμφορά. νεμεσᾷ γὰρ δικαίως
the same will-embrace calamity is-indignant for justly
πρὸς τοὺς πονηροὺς τὸ θεῖον“. καὶ ταῦτα ἔλεγον οὐκ
toward the wicked the divine and these(-things) they-said not
ἀπεικότως τεκμαιρόμενοι· ἑώρων γὰρ μείζονα τινὰ καὶ
unreasonably conjecturing they-saw for greatest some and
ὑπερορίαν ὠμότητα. πάντων γὰρ ἀναλωθέντων ὅσα
beyond-bounds cruelty all for having-been-used-up as-many-as
πέφυκεν ἐπινοεῖν ὠμότης, ἐπὶ ἀσχήμονας τιμωρίας μετῆλθεν
is-wont to-devise cruelty to shameful punishments proceeded
ἡ δυσσέβεια. ἁγνὰς γὰρ παρθένους καὶ σώφρονας γυναῖκας
the impiety pure for virgins and chaste women
ὁ προειρημένος βασιλεὺς εἰς λύμην ἀσελγείας κατέκρινεν,
the aforesaid emperor to outrage of-licentiousness condemned
αἰσχροῖς ψηφίσμασιν ἐπὶ τὰς ἡδονὰς παρακαλῶν τοὺς
by-shameful decrees to the pleasures summoning the
νέους· ἐν ᾧ κρείσσων εὑρέθη τῶν χυδαίων ἡ ἐγκράτεια
young in which stronger was-found of-the common(-people) the self-control

τῆς ἀκολασίας τοῦ τυράννου. οὐδεὶς γὰρ ἑαυτὸν καθῆκεν
than-the licentiousness of-the tyrant no-one for himself let-down
εἰς ἀνόσιον θυμηδίαν, καὶ τὸ ψήφισμα τοῦ βασιλέως
into unholy pleasure and the decree of-the emperor
τὴν τοῦ δήμου σωφροσύνην οὐκ ἴσχυσεν ἀναχαιτίσαι. ὦ
the of-the people chastity not was-able to-curb O
νόμων ἐπιμελητὴν ἄριστον, ὦ τῆς τῶν πάντων ὑπηκόων
of-laws guardian best O of-the of-the all subjects
σωφροσύνης διδάσκαλον, ὦ κηδεμονίας στρατοῦ πρὸς τοὺς
chastity teacher O of-care of-(the)-army toward the
ἑαυτῶν πολίτας. ἐτίτρωσκον τὰ στέρνα τῶν ὁμοφύλων
their-own citizens they-wounded the breasts of-the kinsmen
οἱ μηδέποτε τὰ τῶν πολεμίων ἐν παρατάξει μετάφρενα
the(-ones) never the of-the enemies in battle-line backs
θεασάμενοι. τέλος γοῦν τὴν τῶν ἀνοσίων ἔργων ἐκδικίαν
having-beheld at-last at-any-rate the of-the unholy deeds vengeance
ἡ θεία πρόνοια μετῆλθεν, οὐ μὴν ἄνευ δημοσίας βλάβης.
the divine providence pursued not however without public harm
τοσαῦται γοῦν ἐγένοντο σφαγαί, ὅσαι εἰ κατὰ
so-many at-any-rate were slaughters as-many-as if against
βαρβάρων ἐγένοντο, ἱκανὰς εἶναι πρὸς αἰωνίαν εἰρήνην.
barbarians had-been sufficient to-be for eternal peace
πᾶν γὰρ τὸ τοῦ προειρημένου βασιλέως στράτευμα,
whole for the of-the aforesaid emperor army
ὑποταχθὲν ἐξουσίᾳ τινὸς ἀχρήστου βίᾳ τε τὴν
subjected to-(the)-power of-some useless(-man) by-force and the
Ῥωμαίων ἀρχὴν ἁρπάσαντος, προνοίας θεοῦ τὴν μεγάλην
of-Romans rule having-seized providence of-God the great
πόλιν ἐλευθερούσης, πολλοῖς καὶ παντοδαποῖς πολέμοις
city freeing by-many and all-kinds-of wars
ἀνήλωται. ἀλλὰ τίς ἂν προκομισθείη σαφεστέρα καὶ
has-been-consumed but what — could-be-brought-forward clearer and

ἐναργεστέρα τῆς τοῦ θεοῦ κρίσεως ἀπόδειξις; βοᾷ μὲν
more-evident of-the — of-God judgment proof cries-out indeed
ὁ κόσμος αὐτός, λαμπροτέρα δὲ καὶ ἐναργεστέρα ἡ τῶν
the world itself brighter and also more-evident the of-the
ἄστρων πομπὴ καταφαίνεται, γεγηθότων οἶμαι διὰ τὴν
stars procession appears rejoicing I-think because-of the
τῶν ἀνοσίων ἔργων προσήκουσαν ἐκδικίαν, καὶ αὐτοὶ δὲ
of-the unholy deeds fitting vengeance and themselves too
οἱ διαδεξάμενοι τὸν ἄγριον καὶ ἀπάνθρωπον βίον καιροὶ
the having-succeeded the savage and inhuman life times
χαίρειν ἐπὶ τῇ σφῶν αὐτῶν εὐμοιρίᾳ νομίζονται τήν τε
to-rejoice at the their own good-lot are-thought the and
τοῦ θεοῦ πρὸς τοὺς ἀνθρώπους δηλοῦσιν εὐμένειαν. ἀλλὰ
— of-God toward the men they-show goodwill but
μὴν καὶ αἱ πρὸς τὸν θεὸν ἐκφωνήσεις τῶν πιεζομένων
indeed also the toward — God cries of-the oppressed
καὶ τὴν ἔμφυτον ἐλευθερίαν ποθούντων, καὶ οἱ μετὰ τὴν
and the inborn freedom longing-for and the after the
ἀπαλλαγὴν τῶν κακῶν τῆς εὐχαριστίας πρὸς τὸν θεὸν
deliverance from-the evils of-the thanksgiving toward — God
ἔπαινοι, ἀποδοθείσης τῆς ἐλευθερίας αὐτοῖς καὶ τῶν μετὰ
praises having-been-restored the freedom to-them and of-the with
δικαιοσύνης συμβολαίων, πῶς οὐ παντὶ τρόπῳ τὴν τοῦ
justice covenants how not in-every way the —
θεοῦ πρόνοιαν καὶ τὴν πρὸς τοὺς ἀνθρώπους στοργὴν
of-God providence and the toward the men affection
χαρακτηρίζουσιν;
they-characterize
Ὅταν δὲ τὴν ἐμὴν ὑπηρεσίαν ἐπαινῶσιν, ἐξ ἐπιπνοίας 26
when and the my service they-praise from inspiration
θεοῦ τὴν ἀρχὴν ἔχουσαν, ἆρ᾽ οὐ τῆς ἐμῆς ἀνδραγαθίας
of-God the beginning having (is-it) not of-the my brave-deeds

τὸν θεὸν αἴτιον εἶναι διαβεβαιοῦνται; πάντων γε
— God (the)-cause to-be they-affirm of-all at-least
μάλιστα· ἔστι γὰρ θεοῦ ἴδιον τὸ τὰ ἄριστα προστάττειν,
most it-is for of-God proper the the best(-things) to-command
ἀνθρώπων δὲ τὸ τῷ θεῷ πείθεσθαι. ἔστι δὲ οἶμαι διακονία
of-men and the — to-God to-obey it-is and I-think service
καλλίστη τε καὶ ἀρίστη, εἴ τις πρὸ τῆς ἐγχειρήσεως
most-beautiful both and best if anyone before the undertaking
προκατασκευάζει τὴν τῶν πραχθησομένων ἀσφάλειαν.
prepares the of-the(-things) to-be-done safety
καὶ ἐπίστανταί γε πάντες ἄνθρωποι τὴν τῶνδε τῶν
and know at-least all men the of-these the
χειρῶν ἁγιωτάτην λατρείαν ὀφείλεσθαι τῷ θεῷ πίστει
hands most-holy service to-be-owed — to-God with-faith
καθαρᾷ καὶ εἰλικρινεστάτῃ, καὶ σύν γε ταῖς χερσὶν
pure and most-sincere and with at-least the hands
εὐχαῖς τε καὶ λιτανείας πᾶν, ὅσον ἤνυσται ὑπὲρ
with-prayers both and supplications all as-much-as has-been-accomplished for
συμφέροντος, κατορθοῦσθαι, προσγενομένης ὠφελείας ἰδίᾳ
(the)-good to-be-achieved having-accrued benefit privately
τε καὶ δημοσίᾳ τοσαύτης, ὅσην ἂν ἕκαστος αὐτῷ τε
both and publicly so-great as-much-as — each for-himself both
καὶ τοῖς φιλτάτοις ηὔξατο. ἱστόρησαν δὲ καὶ τὰς μάχας,
and for-the dearest prayed they-recorded and also the battles
καὶ ἐθεάσαντο τὸν πόλεμον, τῆς τοῦ θεοῦ προνοίας τὴν
and they-beheld the war of-the — of-God providence the
νίκην τῷ δήμῳ βραβευούσης, καὶ εἶδον τὸν θεὸν ταῖς
victory to-the people awarding and they-saw — God with-the
ἡμετέραις εὐχαῖς συναιρόμενον· ἀνίκητον γὰρ χρῆμα ἡ
our prayers helping invincible for thing the
δικαία προσευχή, καὶ οὐδεὶς ὁσίως λιτανεύων ἀποτυγχάνει
just prayer and no-one holily supplicating fails-of

τοῦ σκοποῦ· οὐδὲ γὰρ περιλείπεται τόπος ἀποτεύγματι, εἰ
the aim not-even for is-left place for-failure if
μὴ μόνον ἔνθα ἂν τὸ τῆς πίστεως ὀκλάζῃ· ὁ γάρ τοι θεὸς
not only where — the of-the faith may-bend — for surely God
ἀεὶ πάρεστιν εὐμενὴς τὴν τῶν ἀνθρώπων προσδεχόμενος
always is-present kindly the of-the men accepting
καλοκἀγαθίαν· διὸ ἀνθρώπινον μὲν πταῖσαί ποτε, ὁ
goodness wherefore human indeed to-stumble sometimes —
δὲ θεὸς ἀναίτιος τῶν ἀνθρωπίνων πταισμάτων· χρὴ
but God blameless of-the human stumbles (one)-must
τοίνυν πάντας τοὺς τὴν εὐσέβειαν καταδιώκοντας χάριν
therefore all the(-ones) the piety pursuing gratitude
ὁμολογεῖν τῷ σωτῆρι τῶν πάντων ἕνεκεν τῆς ἡμετέρας
to-confess to-the savior of-the all for-the-sake-of the our
αὐτῶν σωτηρίας καὶ τῆς τῶν δημοσίων πραγμάτων
own salvation and of-the of-the public affairs
εὐμοιρίας, ὁσίαις τε εὐχαῖς καὶ λιτανείαις ἐπαλλήλοις
good-fortune with-holy and prayers and supplications continual
ἐξιλεοῦσθαι τὸν Χριστὸν ἡμῖν, ὅπως τὰς εὐεργεσίας αὐτοῦ
to-propitiate — Christ for-us that the benefits his
διαφυλάττοι· οὗτος γάρ ἐστιν ἀήττητος σύμμαχος καὶ
he-may-preserve this(-one) for is invincible ally and
ὑπερασπιστὴς τῶν δικαίων, ὁ δὲ αὐτὸς κριτὴς ἄριστος,
defender of-the just the and same judge best
ἀθανασίας ἡγεμών, ἀιδίου ζωῆς χορηγός.
of-immortality leader of-everlasting life provider
